2,6: ζητοῦντες ἐξ ἀνθρώπων δόξαν[59] — *Λ* 16,9 = Mt. 23,6. Mc. 12,38. 39. Lc. 11,43. Lc. 20,46. θελόντων ἀσπασμοὺς ἐν ταῖς ἀγοραῖς καὶ πρωτοκαθεδρίας ἐν ταῖς συναγωγαῖς

2,7: [ὡς ἐὰν τροφὸς θάλπῃ τὰ ἑαυτῆς τέκνα[115] — *Λ* 21,8 = Lc. 13,34. Mt. 23,37: ἠθέλησα ἐπισυνάξαι τὰ τέκνα σου, ὡς ὄρνις ἐπισυνάγει τὰ νοσσία αὐτῆς]

2,9: ἐκηρύξαμεν εἰς ὑμᾶς τὸ εὐαγγέλιον — *Λ* 29,39 = Mc. 14,9. Mt. 26,13: κηρυχθῇ τὸ εὐαγγέλιον[116]

2,12: περιπατεῖν ὑμᾶς ἀξίως τοῦ θεοῦ τοῦ καλοῦντος ὑμᾶς — *Λ* 21,22 = Mt. 22,8ᵇ. Lc. 14,24: οἱ δὲ κεκλημένοι οὐκ ἦσαν ἄξιοι[77]

2,13ᵃ: εὐχαριστοῦμεν [τῷ θεῷ[45] — *Λ* 12,27 = Lc. 10,21. Mt. 11,25: εὐχαριστῶ σοι, πάτερ

2,13ᵇ: παραλαβόντες λόγον ἀκοῆς[32] — *Λ* 8,32. 33 = Lc. 8,12. 13. Mc. 4,15—17. Mt. 13,19—21: οὗτός ἐστιν ὁ τὸν λόγον ἀκούων καὶ εὐθὺς .. λαμβάνων

2,13ᵇ: ἐδέξασθε[43] οὐ λόγον ἀνθρώπων, ἀλλὰ καθώς ἐστιν ἀληθῶς λόγον θεοῦ[32] — *Λ* 12,16 = Mt. 10,40. Lc. 10,16: ὁ δεχόμενος ὑμᾶς ἐμὲ δέχεται, καὶ ὁ ἐμὲ δεχόμενος δέχεται τὸν ἀποστείλαντά με

2,14.15: Ἰουδαίων[36] ... τοὺς προφήτας καὶ ἡμᾶς ἐκδιωξάντων[11] — *Λ* 6,13 = Lc. 6,23. Mt. 5,12: οὕτως γὰρ ἐδίωξαν τοὺς προφήτας οἱ πατέρες ὑμῶν

2,14.15: Ἰουδαίων[36] τῶν καὶ τὸν κύριον ἀποκτεινάντων Ἰησοῦν καὶ τοὺς προφήτας[61] — *Λ* 16,20 = Mt. 23,31. Lc. 11,48: αὐτοὶ μὲν ἀπέκτειναν τοὺς προφήτας

2,14.15: Ἰουδαίων[36] τῶν καὶ τὸν κύριον ἀποκτεινάντων Ἰησοῦν καὶ τοὺς προφήτας καὶ ἡμᾶς ἐκδιωξάντων — *Λ*

16, 22. 23 = Lc. 11, 49. Mt. 23, 34: *προφήτας .. καὶ ἐξ αὐτῶν ἀποκτενοῦσιν καὶ ἐκδιώξουσιν*[61]

2, 16[a]: *κωλυόντων ἡμᾶς τοῖς ἔθνεσιν λαλῆσαι, ἵνα σωθῶσιν — Λ* 16, 16 = Lc. 11, 52. Mt. 23, 13: *τοὺς εἰσερχομένους ἐκωλύσατε*[61]

2, 16[b]: *εἰς τὸ ἀναπληρῶσαι αὐτῶν τὰς ἁμαρτίας*[60] *— Λ* 16, 21 = Mt. 23, 32: *καὶ ὑμεῖς πληρώσατε τὰς ἁμαρτίας*[61] *τῶν πατέρων ὑμῶν*

2, 16[c]: *ἔφθασεν δὲ ἐπ' αὐτοὺς ἡ ὀργὴ εἰς τέλος*[115] *— Λ* 31, 15 = Lc. 21, 23[b]: *καὶ ὀργὴ τῷ λαῷ τούτῳ*

3, 2: *εἰς τὸ στηρίξαι ὑμᾶς καὶ παρακαλέσαι ὑπὲρ τῆς πίστεως ὑμῶν*[121] *— Λ* 33, 7 = Lc. 22, 32: *σὺ δὲ .. στήρισον τοὺς ἀδελφούς σου ... ἵνα μὴ ἐκλίπῃ ἡ πίστις ὑμῶν*

*[3, 3. 4: *ἐν ταῖς θλίψεσιν ταύταις· αὐτοὶ γὰρ οἴδατε, ὅτι εἰς τοῦτο κείμεθα· καὶ γὰρ ὅτε πρὸς ὑμᾶς ἦμεν, προελέγομεν ὑμῖν ὅτι μέλλομεν θλίβεσθαι — Λ* 28, 8 = Mt. 5, 10: *μακάριοι οἱ δεδιωγμένοι*[11]]

3, 5: *ἐπείρασεν ὑμᾶς ὁ πειράζων*[3] *— Λ* 2, 10 = Mt. 4, 1. Mc. 1, 12. Lc. 4, 1: *πειρασθῆναι ὑπὸ τοῦ διαβόλου*[121]

3, 7: *ἐπὶ πάσῃ τῇ ἀνάγκῃ καὶ θλίψει*[115] *— Λ* 31, 15 = Lc. 21, 23. Mt. 24, 21. Mc. 13, 19: *ἔσται γὰρ ἀνάγκη* [Mt. Mc.: *θλῖψις*] *μεγάλη*

3, 10: *δεόμενοι .. καταρτίσαι τὰ ὑστερήματα τῆς πίστεως ὑμῶν*[121] *— Λ* 33, 7 = Lc. 22, 32: *ἀλλ' ἐγὼ ἐδεήθην, ἵνα μὴ ἐκλίπῃ ἡ πίστις ὑμῶν*

3, 13[a]: *εἰς τὸ στηρίξαι ὑμῶν τὰς καρδίας*[121] *— Λ* 33, 7 = Lc. 22, 32: *σὺ δὲ στήρισον τοὺς ἀδελφούς σου*

*3, 13[b]: *ἐν τῇ παρουσίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ μετὰ πάντων τῶν ἁγίων αὐτοῦ*[4] *— Λ* 31, 28. 29 = Lc. 21, 27. Mc. 13, 26. 27. Mt. 24, 30. 31: *ὄψονται τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον .. καὶ ἀποστελεῖ τοὺς ἀγγέλους αὐτοῦ*[117]

4, 4. 7: *ἕκαστον ὑμῶν τὸ ἑαυτοῦ σκεῦος κτᾶσθαι ἐν ἁγιασμῷ ... οὐ γὰρ ἐκάλεσεν ἡμᾶς ὁ θεὸς ἐπὶ ἀκαθαρσίᾳ ἀλλ' ἐν ἁγιασμῷ — Λ* 16, 3. 4 = Mt. 23, 25. 26. Lc. 11, 40. 41: *τὸ ἔσωθεν ὑμῶν γέμει .. ἀκαθαρσίας .. καθάρισον πρῶτον τὸ ἔσωθεν τοῦ ποτηρίου καὶ τῆς παροψίδος, καὶ ἰδοὺ πάντα καθαρὰ ἔσται ὑμῖν*[58]

4, 8: *ὁ ἀθετῶν οὐκ ἄνθρωπον ἀθετεῖ, ἀλλὰ τὸν θεόν*[43]

— *Λ* 12, 17 = Lc. 10, 16: *ὁ ὑμᾶς ἀθετῶν ἐμὲ ἀθετεῖ· ὁ δὲ ἐμὲ ἀθετῶν ἀθετεῖ τὸν ἀποστείλαντά με*

4, 12: *πρὸς τοὺς ἔξω*[30] — *Λ* 8, 30 = Mc. 4, 11: *ἐκείνοις δὲ τοῖς ἔξω*

4, 14: *Ἰησοῦς ἀπέθανεν*[123] *καὶ ἀνέστη*[124] — *Λ* 34, 44 = Lc. 23, 46. Mt. 27, 50. Mc. 15, 37: *ἐξέπνευσεν* — *Λ* 35, 6 = Mc. 16, 6. Mt. 28, 6. Lc. 24, 6: *ἠγέρθη*

4, 15: *τοῦτο γὰρ ὑμῖν λέγομεν ἐν λόγῳ κυρίου .. εἰς τὴν παρουσίαν τοῦ κυρίου*[117] — *Λ* 31, 3 = Mt. 24, 3. [Mc. 13, 4. Lc. 21, 7: *τί τὸ σημεῖον*] *τῆς σῆς παρουσίας*

4, 16: *ὅτι αὐτὸς ὁ κύριος*[38] *.. ἐν φωνῇ ἀρχαγγέλου καὶ ἐν σάλπιγγι*[117] *θεοῦ καταβήσεται* — *Λ* 31, 29 = Mt. 24, 31: *καὶ ἀποστελεῖ τοὺς ἀγγέλους αὐτοῦ μετὰ σάλπιγγος φωνῆς μεγάλης*

4,16.17: *καταβήσεται ἀπ' οὐρανοῦ .. ἐν νεφέλαις*[117] — *Λ* 31, 28 = Mt. 24, 30. Mc. 13, 26. Lc. 21, 27: *ἐρχόμενον ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ*

4, 17[a]: *ἅμα σὺν αὐτοῖς ἁρπαγησόμεθα ἐν νεφέλαις*[117] — *Λ* 31, 28. 30 = Mc. 13, 26. 27. Mt. 24, 30. 31. [Lc. 21, 27]: *ἐρχόμενον ἐν νεφέλαις .. καὶ ἐπισυνάξουσιν τοὺς ἐκλεκτούς*

4, 17[b]: *εἰς ἀπάντησιν τοῦ κυρίου*[117] — *Λ* 20, 10 = Mt. 25, 6: *ἐξέρχεσθε εἰς ἀπάντησιν αὐτοῦ*[74]

4, 17[b]: *εἰς ἀπάντησιν τοῦ κυρίου*[117] *.. καὶ οὕτως πάντοτε σὺν κυρίῳ ἐσόμεθα*[74] — *Λ* 20, 15 = Mt. 25, 10: *καὶ αἱ ἕτοιμοι συνεισῆλθον μετ' αὐτοῦ εἰς τὸν νυμφῶνα, καὶ ἐκλείσθη ἡ θύρα*

4, 17[c]: *πάντοτε σὺν κυρίῳ ἐσόμεθα* — *Λ* 34, 37 = Lc. 23, 43: *μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ*[123]

5, 1: *περὶ δὲ τῶν χρόνων καὶ τῶν καιρῶν*[126] — *Λ* 35, 52 = Act. 1, 7 [Mt. 24, 36. Mc. 13, 32]: *οὐχ ὑμῶν ἐστὶν γνῶναι χρόνους ἢ καιρούς*

5, 2: *ἡμέρα κυρίου ὡς κλέπτης ἐν νυκτὶ οὕτως ἔρχεται*[69] — *Λ* 18, 7 = Lc. 12, 39. Mt. 24, 43: *εἰ ᾔδει ὁ οἰκοδεσπότης ποίᾳ ὥρᾳ ὁ κλέπτης ἔρχεται*

5, 3[a]: *αἰφνίδιος αὐτοῖς ἐπίσταται ὄλεθρος ὥσπερ ἡ ὠδὶν*[117] *τῇ ἐν γαστρὶ ἐχούσῃ* — *Λ* 31, 34 = Lc. 21, 34: *καὶ ἐπιστῇ ἐφ' ὑμᾶς αἰφνίδιος ἡ ἡμέρα ἐκείνη ὥσπερ ἡ ὠδὶν*

5, 3[b]: *καὶ οὐ μὴ ἐκφύγωσιν*[1] — *Λ* 31, 35 = Lc. 21, 36: *ἵνα*

κατισχύσητε ἐκφυγεῖν ταῦτα πάντα[117] — *Λ* 1, 6 = Lc. 3, 7. Mt. 3, 7: τίς ὑπέδειξεν ὑμῖν φυγεῖν;[1]

5, 4: ἵνα ἡ ἡμέρα ὑμᾶς ὡς κλέπτης καταλάβῃ[69] — *Λ* 18, 7 = Lc. 12, 39. Mt. 24, 43: εἰ ᾔδει ὁ οἰκοδεσπότης, ποίᾳ ὥρᾳ ὁ κλέπτης ἔρχεται

5, 5: πάντες γὰρ ὑμεῖς υἱοὶ φωτός[85] — *Λ* 22, 43 = Lc. 16, 8: ὑπὲρ τοὺς υἱοὺς τοῦ φωτός[111]

5, 6[a]: μὴ καθεύδωμεν ὡς οἱ λοιποί[74] — *Λ* 20, 9 = Mt. 25, 5; αἱ μωραὶ ἐκάθευδον

5, 6[b]: γρηγορῶμεν καὶ νήφωμεν[69] — *Λ* 18, 10 = Mc. 13, 37: πρὸς πάντας λέγω· γρηγορεῖτε

*5, 6. 7: γρηγορῶμεν καὶ νήφωμεν· οἱ γὰρ καθεύδοντες νυκτὸς καθεύδουσιν, καὶ οἱ μεθυσκόμενοι[69] νυκτὸς μεθύουσιν — *Λ* 31, 33. 35 = Lc. 21, 34. 36: μήποτε βαρηθῶσιν αἱ καρδίαι ὑμῶν ἐν κραιπάλῃ καὶ μέθῃ[117] .. ἀγρυπνεῖτε

5, 7: οἱ μεθυσκόμενοι νυκτὸς μεθύουσιν[69] — *Λ* 18, 15 = Lc. 12, 45. Mt. 24, 49: ἄρξηται .. ἐσθίειν τε καὶ πίνειν καὶ μεθύσκεσθαι μετὰ τῶν μεθυόντων

5, 9. 10[a]: τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ἀποθανόντος περὶ ἡμῶν[120] — *Λ* 32, 38 = Mt. 20, 28. Mc. 10, 45: ὁ υἱὸς τοῦ ἀνθρώπου .. δοῦναι ἑαυτὸν ἀντὶ πολλῶν

5, 10[b]: εἴτε γρηγορῶμεν εἴτε καθεύδωμεν[122] — *Λ* 33, 24 = Mc. 14, 37. Mt 26, 40: Σίμων, καθεύδεις; οὐκ ἰσχύσατε μίαν ὥραν γρηγορῆσαι μετ' ἐμοῦ;

5, 10[c]: ἅμα σὺν αὐτῷ ζήσωμεν[89] — *Λ* 23, 29 = Lc. 20, 38: πάντες γὰρ αὐτῷ ζῶσιν

[5, 12: ἐρωτῶμεν δὲ ὑμᾶς εἰδέναι τοὺς κοπιῶντας[51] — *Λ* 12, 33 = Mt. 11, 28: δεῦτε πρός με πάντες οἱ κοπιῶντες]

5, 13: εἰρηνεύετε ἐν ἑαυτοῖς[109] — *Λ* 28, 37 = Mc. 9, 50: εἰρηνεύετε ἐν ἀλλήλοις

5, 14[a]: νουθετεῖτε τοὺς ἀτάκτους[95] — *Λ* 24, 18 = Mt. 18, 15. Lc. 17, 3: ἔλεγξον αὐτὸν

[5, 14[b]: ἀντέχεσθε τῶν ἀσθενῶν[42] — *Λ* 12, 12 = Mt. 10, 8. Lc. 10, 9: ἀσθενεῖς θεραπεύετε]

5, 15: τὸ ἀγαθὸν διώκετε[101] — *Λ* 26, 13 = Mt. 19, 16: τί ἀγαθὸν ποιήσω; v. 14: ἓν ἐστιν τὸ ἀγαθόν

5, 16: πάντοτε χαίρετε[44] — *Λ* 12, 25 = Lc. 10, 20: χαίρετε δὲ καὶ ἀγαλλιᾶσθε. *Λ* 21, 40 = Lc. 9, 23: καθ' ἡμέραν χαίρων

5, 17: ἀδιαλείπτως προσεύχεσθε [117] — Λ 31, 35 = Lc. 21, 36: δεόμενοι ἀδιαλείπτως

5, 18: ἐν παντὶ εὐχαριστεῖτε [45] — Λ 12, 27 = Lc. 10, 21. Mt. 11, 25: εὐχαριστῶ σοι, πάτερ

5, 18. 19: τοῦτο γὰρ θέλημα θεοῦ ἐν Χριστῷ Ἰησοῦ εἰς ὑμᾶς· τὸ πνεῦμα μὴ σβέννυτε — Λ 35, 48 = Mt. 28, 19: εἰς ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος [125]

5, 23: ἐν τῇ παρουσίᾳ τοῦ κυρίου [117] — Λ 31, 3 = Mt. 24, 3 [Lc. 21, 7. Mc. 13, 4]: τῆς σῆς παρουσίας.

Der zweite Brief an die Thessalonicher.

1, 3[a]: εὐχαριστεῖν ὀφείλομεν τῷ θεῷ [45] — Λ 12, 27 = Lc. 10, 21. Mt. 11, 25: εὐχαριστῶ σοι, πάτερ

[1, 3[b]: ὑπεραυξάνει ἡ πίστις ὑμῶν καὶ πλεονάζει ἡ ἀγάπη [163] — Λ 31, 20 = Mt. 24, 12: διὰ τὸ αὐξάνειν τὴν ἀνομίαν ψυγήσεται ἡ ἀγάπη]

*1, 4. 5: ἐν πᾶσιν τοῖς διωγμοῖς ὑμῶν .... εἰς τὸ καταξιωθῆναι ὑμᾶς τῆς βασιλείας τοῦ θεοῦ ὑπὲρ ἧς καὶ πάσχετε [11] — Λ 28, 8 = Mt. 5, 10: μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης, ὅτι αὐτῶν ἐστὶν ἡ βασιλεία τοῦ θεοῦ

1, 5: εἰς τὸ καταξιωθῆναι ὑμᾶς τῆς βασιλείας τοῦ θεοῦ [117] — Λ 31, 35 = Lc. 21, 36: ἵνα καταξιωθῆτε σταθῆναι ἔμπροσθεν τοῦ υἱοῦ τοῦ ἀνθρώπου

1, 7: ἐν τῇ ἀποκαλύψει τοῦ κυρίου Ἰησοῦ ἀπ' οὐρανοῦ μετ' ἀγγέλων δυνάμεως αὐτοῦ [4] — Λ 31, 28. 29 = Mt. 24, 30. 31. Mc. 13, 26. 27 [Lc. 21, 27]: ὄψονται τὸν υἱὸν τοῦ ἀνθρώπου [38] ἐρχόμενον ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ μετὰ δυνάμεως καὶ δόξης πολλῆς καὶ ἀποστελεῖ τοὺς ἀγγέλους αὐτοῦ [117]

1, 11[a]: προσευχόμεθα πάντοτε [55] — Λ 31, 35 = Lc. 21, 36: δεόμενοι ἀδιαλείπτως

1, 11[b]: ἀξιώσῃ τῆς κλήσεως ὁ θεὸς ἡμῶν — Λ 21, 22 = Mt. 22, 8: οἱ κεκλημένοι οὐκ ἦσαν ἄξιοι [77]

2, 1[a]: ὑπὲρ τῆς παρουσίας τοῦ κυρίου [117] — Λ 31, 3 = Mt. 24, 3 [Lc. 21, 7. Mc. 13, 4]: τῆς σῆς παρουσίας

2, 1[b]: καὶ ἡμῶν ἐπισυναγωγῆς [117] ἐπ' αὐτόν — Λ 31, 30 = Mc. 13, 27. Mt. 24, 31: ἐπισυνάξουσιν τοὺς ἐκλεκτοὺς αὐτοῦ

2, 2: εἰς τὸ μὴ ταχέως σαλευθῆναι ὑμᾶς ἀπὸ τοῦ νοός — Λ 7, 25 = Mt. 11, 7. Lc. 7, 24: κάλαμον ὑπὸ ἀνέμου σαλευόμενον

2, 3: μή τις ὑμᾶς ἐξαπατήσῃ[117] — Λ 31, 4 = Mt. 24, 4. Mc. 13, 5. Lc. 21, 8: βλέπετε, μή τις ὑμᾶς πλανήσῃ

2, 7: τὸ γὰρ μυστήριον ἤδη ἐνεργεῖται τῆς ἀνομίας[163] — Λ 31, 20 = Mt. 24, 12: διὰ τὸ πληθυνθῆναι τὴν ἀνομίαν

*2, 8: τῇ ἐπιφανείᾳ τῆς παρουσίας αὐτοῦ[117] — Λ 25, 7 = Mt. 24, 27. Lc. 17, 24: ὥσπερ ἡ ἀστραπὴ .. φαίνεται .., οὕτως ἔσται ἡ παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώπου

2, 11: πέμπει αὐτοῖς ὁ θεὸς ἐνέργειαν πλάνης[116] — Λ 31, 22 = Mc. 13, 22. Mt. 24, 24: ὥστε πλανηθῆναι, εἰ δυνατόν, καὶ τοὺς ἐκλεκτούς

2, 13: ἡμεῖς δὲ ὀφείλομεν εὐχαριστεῖν τῷ θεῷ[45] — Λ 12, 27 = Lc. 10, 21. Mt. 11, 25: εὐχαριστῶ σοι, πάτερ

2,13.14: εἵλατο ὑμᾶς ὁ θεὸς .. ἐν ἁγιασμῷ πνεύματος .. εἰς περιποίησιν δόξης τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ — Λ 35, 48 = Mt. 28, 19: εἰς ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος[125]

2,13.14: εἵλατο ὑμᾶς ὁ θεὸς ἀπ' ἀρχῆς ... εἰς ὃ ἐκάλεσεν ὑμᾶς — Λ 20, 43 = Mt. 20, 16. Mt. 22, 14: πολλοὶ γάρ εἰσιν κλητοί, ὀλίγοι δὲ ἐκλεκτοί[75]

*3, 1: τὸ λοιπὸν προσεύχεσθε, ἀδελφοί[55] — Λ 14, 10 = Mt. 6, 6. Lc. 11, 2: οὕτως οὖν προσεύχεσθε ὑμεῖς

*3, 2: ἵνα ῥυσθῶμεν ἀπὸ τῶν .. πονηρῶν ἀνθρώπων[55] — Λ 14, 17 = Mt. 6, 13 [Lc. 11, 4 D]: ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ

3, 3: στηρίξει ὑμᾶς καὶ φυλάξει ἀπὸ τοῦ πονηροῦ — Λ 14, 17 = Mt. 6, 13 [Lc. 11, 4 D]: ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ[55]

3, 5: ὁ δὲ κύριος κατευθύναι ὑμῶν τὰς καρδίας .. εἰς τὴν ὑπομονὴν τοῦ Χριστοῦ[65] — Λ 16, 44 = Lc. 21, 19: ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ὑμῶν

3, 6: παραγγέλλομεν δὲ ὑμῖν, ἀδελφοί, ἐν ὀνόματι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, στέλλεσθαι ὑμᾶς ἀπὸ παντὸς ἀδελφοῦ ἀτάκτως περιπατοῦντος καὶ μὴ κατὰ τὴν παράδοσιν, ἣν παρελάβοσαν παρ' ἡμῶν

— *Λ* 24, 21 = Mt. 18, 17 *(ΠΣ)*: *ἔστω ὑμῖν ὡς παραβάτης καὶ ὡς σκάνδαλον*[95]

3, 8. 9: *οὐδὲ δωρεὰν ἄρτον ἐφάγομεν*[42] *παρά τινος .. οὐχ ὅτι οὐκ ἔχομεν ἐξουσίαν* — *Λ* 12, 9 = Lc. 10, 7: *ἐν αὐτῇ τῇ οἰκίᾳ μείνατε, ἔσθοντες καὶ πίνοντες τὰ παρ' αὐτῶν*

3, 13: *ὑμεῖς δέ, ἀδελφοί, μὴ ἐγκακήσητε* — *Λ* 14, 18 = Lc. 18, 1: *καὶ μὴ ἐκκακήσητε*[53]

3,14.15: *τοῦτον σημειοῦσθε, μὴ συναναμίγνυσθαι αὐτῷ, ἵνα ἐντραπῇ· καὶ μὴ ὡς ἐχθρὸν ἡγεῖσθε, ἀλλὰ νουθετεῖτε ὡς ἀδελφόν*[95] — *Λ* 24, 18 = Mt. 18, 15. Lc. 17, 3: *ἐὰν δὲ ἁμαρτήσῃ ὁ ἀδελφός σου, ἔπαγε ἔλεγξον αὐτόν.*[95]

2. Die Corintherbriefe.

Der erste Brief an die Corinther.

1, 4: *εὐχαριστῶ τῷ θεῷ*[45] — *Λ* 12, 27 = Lc. 10, 21. Mt. 11, 25: *εὐχαριστῶ σοι, πάτερ*

1, 7ᵃ: *ὥστε ὑμᾶς μὴ ὑστερεῖσθαι ἐν μηδενί*[121] — *Λ* 33, 13 = Lc. 22, 35: *μή τινος ὑστερήσατε; οἱ δὲ εἶπον· οὐδενός*

1, 7ᵇ: *ἀπεκδεχομένους τὴν ἀποκάλυψιν τοῦ κυρίου* — *Λ* 25, 12 = Lc. 17, 30: *ἡ ἡμέρα τοῦ υἱοῦ τοῦ ἀνθρώπου, ᾗ ἀποκαλυφθήσεται*[46]

1, 10: *ἦτε δὲ κατηρτισμένοι*[119] — *Λ* 32, 40 = Lc. 6, 40. Mt. 10, 25: *κατηρτισμένος δὲ ἔσται ὁ μαθητής*

1, 18: *τοῖς μὲν ἀπολλυμένοις μωρία ἐστίν, τοῖς δὲ σωζομένοις*[72] *ἡμῖν δύναμις θεοῦ* — *Λ* 29, 10 = Lc. 19, 10: *σῶσαι τὸ ἀπολωλός* — *Λ* 20, 1 = Lc. 13, 23: *εἰ ὀλίγοι εἰσὶν οἱ σωζόμενοι* — *Λ* 20, 3 = Mt. 7, 13: *εἰς τὴν ἀπώλειαν*

1, 19: *γέγραπται γάρ· ἀπολῶ τὴν σοφίαν τῶν σοφῶν καὶ τὴν σύνεσιν τῶν συνετῶν ἀθετήσω*[46] — *Λ* 12, 27 = Lc. 10, 21. Mt. 11, 25: *ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν καὶ συνετῶν*[53]

1, 20: *ποῦ σοφός; ποῦ γραμματεύς;*[53] — *Λ* 12, 27 = Lc. 10, 21. Mt. 11, 25: *ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν καὶ συνετῶν*[46]

1, 21ᵃ: *οὐκ ἔγνω ὁ κόσμος διὰ τῆς σοφίας τὸν θεόν*[46] — *Λ* 12, 30 = Lc. 10, 22. Mt. 11, 27: *οὐδεὶς ἔγνω τὸν πατέρα*[49]

1, 21ᵇ: εὐδόκησεν[47] ὁ θεὸς διὰ τῆς μωρίας τοῦ κηρύγματος κτλ.[46] — Λ 12, 28 = Lc. 10, 21. Mt. 11, 26: ναὶ ὁ πατήρ, ὅτι οὕτως εὐδοκία ἐγένετο ἔμπροσθέν σου

1, 21ᶜ: σῶσαι τοὺς πιστεύοντας[28] — Λ 8, 32 = Lc. 8, 12: πιστεύσαντες σωθῶσιν[32]

1, 22: Ἰουδαῖοι σημεῖα αἰτοῦσιν καὶ Ἕλληνες σοφίαν ζητοῦσιν — Λ 15, 17 = Mc. 8, 11. Mt. 16, 1. Lc. 11, 16. Mt. 12, 38: οἱ Φαρισαῖοι ζητοῦντες παρ' αὐτοῦ σημεῖον[36]

1, 23ᵃ: κηρύσσομεν Χριστὸν ἐσταυρωμένον[123] — Λ 35, 6 = Mc. 16, 6 [Lc. 24, 6. Mt. 28, 6]: Ἰησοῦν ζητεῖτε τὸν ἐσταυρωμένον[124]

1, 23ᵇ: Χριστὸν ... Ἰουδαίοις μὲν σκάνδαλον[35] — Λ 10, 15 = Mt. 15, 12: οἱ Φαρισαῖοι ἀκούσαντες τὸν λόγον ἐσκανδαλίσθησαν[36]

1, 24: Χριστὸν .. θεοῦ σοφίαν[25] — Λ 16, 22 = Lc. 11, 49: ἡ σοφία τοῦ θεοῦ εἶπεν — Λ 7, 37 = Lc. 7, 35. Mt. 11, 19: ἐδικαιώθη ἡ σοφία

1,26.27: βλέπετε τὴν κλῆσιν ὑμῶν ... ἐξελέξατο ὁ θεός — Λ 20, 43 = Mt. 20, 16. Mt. 22, 14: πολλοὶ γάρ εἰσιν κλητοί, ὀλίγοι δὲ ἐκλεκτοί[73]

1,26.27: οὐ πολλοὶ σοφοὶ[47] κατὰ σάρκα ... ἀλλὰ τὰ μωρὰ τοῦ κόσμου ἐξελέξατο[46] — Λ 12, 27 = Lc. 10, 21. Mt. 11, 25: ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν καὶ συνετῶν καὶ ἀπεκάλυψας ταῦτα νηπίοις

[1, 27: τὰ ἀσθενῆ τοῦ κόσμου ἐξελέξατο ὁ θεός — Λ 6, 5 = Lc. 6, 13: ἐξελέξατο ἀπ' αὐτῶν δώδεκα][73]

1, 28: καὶ τὰ ἐξουθενημένα ἐξελέξατο ὁ θεός — Λ 26, 1 = Lc. 18, 9: ἐξουθενοῦντας τοὺς λοιποὺς ἀνθρώπους[99]

1, 30ᵃ: ἐν Χριστῷ Ἰησοῦ, ὃς ἐγενήθη σοφία ἡμῖν ἀπὸ θεοῦ — Λ 16, 22 = Lc. 11, 49: ἡ σοφία τοῦ θεοῦ εἶπεν[25] — Λ 7, 37 = Mt. 11, 19. Lc. 7, 35.

1, 30ᵇ: ἐν Χριστῷ Ἰησοῦ, ὃς ἐγενήθη .. ἡμῖν ... δικαιοσύνη[68] — Λ 17, 20 = Mt. 6, 33 [Lc. 12, 31]: ζητεῖτε πρῶτον .. τὴν δικαιοσύνην αὐτοῦ

1, 30: ἐγενήθη .. ἡμῖν ... ἀπολύτρωσις[120] — Λ 32, 38 = Mt. 20, 28. Mc. 10, 45: δοῦναι ἑαυτὸν ἀντίλυτρον — Λ 31, 31 = Lc. 21, 28 [Mt. 24, 31 D]: ἐγγίζει ἡ ἀπολύτρωσις ὑμῶν

2, 2: Ἰησοῦν Χριστὸν καὶ τοῦτον ἐσταυρωμένον[124] — Λ

35, 6 = Mc. 16, 6 [Mt. 28, 6. Lc. 24, 6]: *Ἰησοῦν ζητεῖτε τὸν ἐσταυρωμένον*

[2, 6: *σοφίαν δὲ λαλοῦμεν ἐν τοῖς τελείοις*[19] — *Λ* 6, 42 = Mt. 5, 48: *ἔσεσθε οὖν ὑμεῖς τέλειοι*]

2, 7[a]: *λαλοῦμεν θεοῦ σοφίαν*[25] — *Λ* 16, 22 = Lc. 11, 49: *ἡ σοφία τοῦ θεοῦ εἶπεν* — *Λ* 7, 37 = Lc. 7, 35. Mt. 11, 19: *ἐδικαιώθη ἡ σοφία*

2, 7[b]: *ἐν μυστηρίῳ*[29] — *Λ* 8, 29 = Lc. 8, 10. Mc. 4, 11. Mt. 13, 11: *γνῶναι τὸ μυστήριον τῆς βασιλείας τοῦ θεοῦ*

2, 7[c]: *ἀποκεκρυμμένην*[46] — *Λ* 12, 27 = Lc. 10, 21. Mt. 11, 25: *ἀπέκρυψας ταῦτα*[47]

2, 8[a]: *ἣν οὐδεὶς . . . ἔγνωκεν*[46] — *Λ* 12, 30 = Lc. 10, 22. Mt. 11, 27: *οὐδεὶς ἔγνω τὸν υἱόν*[47]

2, 8[b]: *τῶν ἀρχόντων*[123] *τοῦ αἰῶνος τούτου* — *Λ* 35, 19 = Lc. 24, 20: *οἱ ἄρχοντες ἡμῶν*[124]

2, 8[c]: *εἰ γὰρ ἔγνωσαν, οὐκ ἄν* — *Λ* 34, 28 = Lc. 23, 34: *οὐ γὰρ οἴδασιν τί ποιοῦσιν*[123]

2, 8[d]: *τὸν κύριον τῆς δόξης ἐσταύρωσαν* — *Λ* 35, 19 = Lc. 24, 20: *ἐσταύρωσαν αὐτόν*[124] — *Λ* 34, 27 = Lc. 23, 33. Mt. 27, 33. Mc. 15, 27: *ἐκεῖ ἐσταύρωσαν αὐτόν*[123]

2, 10: *ἡμῖν δὲ ἀπεκάλυψεν ὁ θεός*[46] — *Λ* 12, 27 = Lc. 10, 21. Mt. 11, 25: *ἀπεκάλυψας αὐτὰ νηπίοις*

2,10—16: *ὁ θεὸς διὰ τοῦ πνεύματος . . τὰ τοῦ θεοῦ οὐδεὶς ἔγνωκεν εἰ μὴ τὸ πνεῦμα τοῦ θεοῦ . . . τὸ πνεῦμα . . ἐραυνᾷ καὶ τὰ βάθη τοῦ θεοῦ . . ἡμεῖς δὲ νοῦν Χριστοῦ ἔχομεν* — *Λ* 35, 48 = Mt. 28, 19: *εἰς ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος*[125]

[2, 11[a]: *τίς γὰρ οἶδεν ἀνθρώπων τὰ τοῦ ἀνθρώπου . . . οὕτως καὶ τὰ τοῦ θεοῦ οὐδεὶς ἔγνωκεν*[46] — *Λ* 11, 20 = Mt. 16, 23. Mc. 8, 33: *οὐ φρονεῖς τὰ τοῦ θεοῦ, ἀλλὰ τὰ τῶν ἀνθρώπων*[49]]

2, 11[b]: *τὰ τοῦ θεοῦ οὐδεὶς ἔγνωκεν*[49] — *Λ* 12, 30 = Lc. 10, 22. Mt. 11, 27: *οὐδεὶς ἔγνω τὸν πατέρα*

2, 14: *ψυχικὸς δὲ ἄνθρωπος οὐ δέχεται*[49] *τὰ τοῦ πνεύματος τοῦ θεοῦ* — 3, 3: *ἔτι γὰρ σαρκικοί ἐστε . . . καὶ κατὰ ἄνθρωπον περιπατεῖτε* — *Λ* 11, 16 = Mt. 16, 17: *σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέν σοι*

3, 1: *ὡς νηπίοις ἐν Χριστῷ*[46] — *Λ* 12, 27 = Lc. 10, 21. Mt. 11, 25: *ἀπεκάλυψας αὐτὰ νηπίοις*

3, 5: *ἑκάστῳ ὡς ὁ κύριος ἔδωκεν*[114] — *Λ* 29, 14 = Mt. 25, 15: *ἔδωκεν .. ἑκάστῳ κατὰ τὴν ἰδίαν δύναμιν*

3, 6. 9: *ἐγὼ ἐφύτευσα . . . θεοῦ γεώργιον*[78] — *Λ* 21, 23. 24 = Mt. 21, 33. Mc. 12, 1. Lc. 20, 9: *ἐφύτευσεν ἀμπελῶνα καὶ ἐξέθετο αὐτὸν γεωργοῖς*

3, 8: *ἕκαστος δὲ τὸν ἴδιον μισθὸν λήμψεται κατὰ τὸν ἴδιον κόπον* — *Λ* 20, 31. 33 = Mt. 20, 7. 8: *ἀπόδος αὐτοῖς τὸν μισθὸν . . . καὶ ὃ ἐὰν δίκαιον λήψεσθε*[75]

3, 9—12: *θεοῦ οἰκοδομή ἐστε* — *ὡς σοφὸς*[41] *ἀρχιτέκτων θεμέλιον ἔθηκα*[149], *ἄλλος δὲ ἐποικοδομεῖ. ἕκαστος δὲ βλεπέτω, πῶς ἐποικοδομεῖ. θεμέλιον γὰρ ἄλλον οὐδεὶς δύναται θεῖναι παρὰ τὸν κείμενον, ὅς ἐστιν Ἰησοῦς Χριστός. εἰ δέ τις ἐποικοδομεῖ ἐπὶ τὸν θεμέλιον κτλ.* — *Λ* 6, 59 = Lc. 6, 48. Mt. 7, 24. 25: *ὁμοιός ἐστιν ἀνδρὶ φρονίμῳ*[41] *οἰκοδομοῦντι οἰκίαν, ὃς .. ἔθηκεν θεμέλιον ἐπὶ τὴν πέτραν*[22]

3, 13ª: *ἑκάστου τὸ ἔργον φανερὸν γενήσεται*[46] — *Λ* 6, 52 = Lc. 6, 44. Mt. 7, 16. 20. Mt. 12, 33: *ἕκαστον γὰρ τὸ δένδρον ἐκ τοῦ ἰδίου καρποῦ φανερόν ἐστιν*

3, 13ᵇ: *τὸ πῦρ αὐτὸ δοκιμάσει*[83] — *Λ* 21, 51 = Mc. 9, 49: *πᾶς γὰρ πυρὶ δοκιμασθήσεται*

3, 15ª: *εἴ τινος τὸ ἔργον κατακαήσεται . . . ὡς διὰ πυρός*[1] — *Λ* 2, 28 = Lc. 3, 17. Mt. 3, 12: *τὸ δὲ ἄχυρον κατακαύσει πυρὶ ἀσβέστῳ*

[3, 15ᵇ: *ζημιωθήσεται, αὐτὸς δὲ σωθήσεται*[104] — *Λ* 27, 8 = Lc. 9, 25. Mt. 16, 26. Mc. 8, 36: *ἑαυτὸν .. ζημιωθείς*]

[3, 18: *μηδεὶς ἑαυτὸν ἐξαπατάτω*[117] — *Λ* 31, 4 = Mc. 13, 5. Lc. 21, 8. Mt. 24, 4: *μή τις ὑμᾶς πλανήσῃ*]

3, 21: *πάντα γὰρ ὑμῶν ἐστίν*[101] — *Λ* 26, 26 = Mt. 19, 27: *τί ἄρα ἔσται ἡμῶν;*

3, 22: *εἴτε κόσμος εἴτε ζωὴ εἴτε θάνατος εἴτε ἐνεστῶτα εἴτε μέλλοντα, πάντα ὑμῶν*[101] — *Λ* 26, 27 = Lc. 18, 29. 30. Mt. 19, 28. 29. Mc. 10, 29. 30: *ὃς οὐχὶ μὴ ἀπολάβῃ πολλαπλασίονα ἐν τῷ καιρῷ τούτῳ καὶ ἐν τῷ αἰῶνι τῷ ἐρχομένῳ ζωὴν αἰώνιον*

4, 1: *οἰκονόμους μυστηρίων θεοῦ*[29] — *Λ* 8, 29 = Lc. 8, 10. Mc. 4, 11. Mt. 13, 11: *ὑμῖν δέδοται γνῶναι τὰ μυστήρια τῆς βασιλείας τοῦ θεοῦ*

4, 1. 2: *οὕτως ἡμᾶς λογιζέσθω ἄνθρωπος ὡς ὑπηρέτας Χριστοῦ*

καὶ οἰκονάμους μυστηρίων θεοῦ· ὧδε λοιπὸν ζητεῖται ἐν τοῖς οἰκονόμοις, ἵνα πιστός τις εὑρεθῇ — *Λ* 18, 11 = Mt. 24, 45. Lc. 12, 42: τίς ἄρα ἐστὶν ὁ πιστὸς δοῦλος καὶ οἰκονόμος φρόνιμος[69]

4, 5[a]: μὴ πρὸ καιροῦ τι κρίνετε — *Λ* 6, 44 = Lc. 6, 37. Mt. 7, 1: μὴ κρίνετε[20]

4, 5[b]: ἕως ἂν ἔλθῃ ὁ κύριος[69] — *Λ* 18, 16 = Lc. 12, 46. Mt. 24, 50: ἥξει ὁ κύριος τοῦ δούλου ἐκείνου

4, 5[c]: ὃς καὶ φωτίσει[111] τὰ κρυπτὰ τοῦ σκότους καὶ φανερώσει[46] — *Λ* 16, 28. 29 = Lc. 12, 2. 3. Mt. 10, 26. 27. Mc. 4, 22. Lc. 8, 17: οὐ γάρ ἐστιν κρυπτόν, ὃ οὐ φανερωθῇ . . . ὅσα ἐν τῇ σκοτίᾳ εἴπατε, ἐν τῷ φωτὶ ἀκουσθήσεται

[4, 5[d]: φανερώσει τὰς βουλὰς τῶν καρδιῶν[86] — *Λ* 16, 26 = Lc. 11, 53. 54 D: ἤρξαντο οἱ φαρισαῖοι καὶ οἱ γραμματεῖς . . συμβάλλειν αὐτῷ . . ἵνα κατηγορήσωσιν αὐτοῦ — *Λ* 16, 27 = Lc. 12, 1. Mc. 8, 15. Mt. 16, 6: ἤρξατο λέγειν πρὸς τοὺς μαθητάς· προσέχετε ἑαυτοῖς ἀπὸ τῆς ζύμης τῶν Φαρισαίων[111] — *Λ* 22, 54 = Lc. 16, 15: ὁ δὲ θεὸς γινώσκει τὰς καρδίας ὑμῶν]

4, 5[e]: καὶ τότε ὁ ἔπαινος[114] γενήσεται ἑκάστῳ ἀπὸ τοῦ θεοῦ — *Λ* 29, 21 = Mt. 25, 21. Lc. 19, 17: εὖ, δοῦλε ἀγαθὲ καὶ πιστέ — *Λ* 22, 42 = Lc. 16, 8: καὶ ἐπῄνεσεν ὁ κύριος τὸν οἰκονόμον

[4, 6: μάθητε τὸ μὴ ὑπερφρονεῖν[86] — *Λ* 22, 54 = Lc. 16, 15: τὸ δὲ ἀνθρώποις ὑψηλὸν βδέλυγμα ἐνώπιον τοῦ θεοῦ]

[4, 7: τί δὲ ἔχεις ὃ οὐκ ἔλαβες;[114] — *Λ* 29, 26 = Mt. 25, 25 [Lc. 19, 20[b]]: ἴδε ἔχεις τὸ σόν]

4, 8[a]: ἤδη κεκορεσμένοι ἐστέ;[9] — *Λ* 6, 15 = Lc. 6, 25: οὐαὶ ὑμῖν οἱ ἐμπεπλησμένοι

4, 8[b]: ἤδη ἐπλουτήσατε;[8] — *Λ* 6, 14 = Lc. 6, 24: οὐαὶ ὑμῖν τοῖς πλουσίοις

4, 8[c]: χωρὶς ἡμῶν ἐβασιλεύσατε· καὶ ὄφελόν γε ἐβασιλεύσατε, ἵνα καὶ ἡμεῖς ὑμῖν συμβασιλεύσωμεν — *Λ* 32, 26 = Lc. 22, 30 (*ΠΣ*): καὶ συμβασιλεύσετε μετ' ἐμοῦ ἐν τῇ βασιλείᾳ μου[119]

4, 9[a]: ὁ θεὸς ἡμᾶς ἀποστόλους ἐσχάτους[41] — *Λ* 32, 35 = Mc. 9, 35: ὁ πρῶτος πάντων ἔσχατος[119]

4, 9[b]: ἡμᾶς τοὺς ἀποστόλους . . ἀπέδειξεν[41] — *Λ* 12, 1 = Lc. 10, 1 D: ἀπέδειξεν ὁ κύριος ἑτέρους ἑβδομήκοντα καὶ ἀπέστειλεν αὐτούς

4, 9ᵉ: ὡς ἐπιθανατίους[41] — Λ 12, 4 = Lc. 10, 3. Mt. 10, 16: ὡς πρόβατα ἐν μέσῳ λύκων

4, 10: ὑμεῖς δὲ φρόνιμοι ἐν Χριστῷ[41] — Λ 12, 5 = Mt. 10, 16: γίνεσθε οὖν φρόνιμοι

[4, 11: πεινῶμεν καὶ διψῶμεν καὶ γυμνητεύομεν[9] — Λ 25, 34 = Mt. 25, 44: πότε σε εἴδομεν πεινῶντα ἢ διψῶντα ἢ ξένον ἢ γυμνητεύοντα;[98]]

4, 12: λοιδορούμενοι εὐλογοῦμεν[15] — Λ 6, 28 = Lc. 6, 28 [Mt. 5, 44 D]: εὐλογεῖτε τοὺς λοιδοροῦντας ὑμᾶς

4, 12. 13: διωκόμενοι ἀνεχόμεθα, δυσφημούμενοι παρακαλοῦμεν[11] — Λ 6, 11 = Mt. 5, 11. Lc. 6, 22: μακάριοί ἐστε, ὅταν .. διώξωσιν ὑμᾶς καὶ βλασφημήσωσιν

[4, 15: ἔχητε .. οὐ πολλοὺς πατέρας[102] — Λ 27, 1 = Mt. 23, 9: πατέρα μὴ καλέσητε ὑμῶν ἐπὶ τῆς γῆς]

[4, 20: οὐ γὰρ ἐν λόγῳ ἡ βασιλεία τοῦ θεοῦ[5] — Λ 25, 2 = Lc. 17, 20: οὐκ ἔρχεται ἡ βασιλεία τοῦ θεοῦ μετὰ παρατηρήσεως]

4, 20: ἡ βασιλεία τοῦ θεοῦ .. ἐν δυνάμει[5] — Λ 27, 34 = Mc. 9, 1. Lc. 9, 27 [Mt. 16, 28]: ἕως ἂν ἴδωσιν τὴν βασιλείαν τοῦ θεοῦ ἐρχομένην ἐν δυνάμει

5, 4ᵃ: ἐν τῷ ὀνόματι τοῦ κυρίου Ἰησοῦ Χριστοῦ συναχθέντων ὑμῶν — Λ 24, 24 = Mt. 18, 20: συνηγμένοι εἰς τὸ ἐμὸν ὄνομα[95]

5, 5ᵃ: παραδοῦναι τὸν τοιοῦτον τῷ σατανᾷ εἰς ὄλεθρον τῆς σαρκός, ἵνα τὸ πνεῦμα σωθῇ — Λ 24, 21 = Mt. 18, 17 (ΠΣ): ἔστω ὑμῖν ὡς παραβάτης καὶ ὡς σκάνδαλον, ἕως οὗ μετανοήσῃ[95]

[5, 5ᵇ: ἵνα τὸ πνεῦμα σωθῇ[95] — Λ 24, 19 = Mt. 18, 15: ἐὰν οὖν ἀκούσῃ, ἐκέρδησας τὸν ἀδελφόν σου]

5, 7ᵃ: ἐκκαθάρατε τὴν παλαιὰν ζύμην, ἵνα ἦτε νέον φύραμα — Λ 5, 14. 15 = Mt. 9, 17. Mc. 2, 22. Lc. 5, 37. 38: οὐδεὶς βάλλει οἶνον νέον εἰς ἀσκοὺς παλαιοὺς .. ἀλλὰ βάλλουσιν οἶνον νέον εἰς ἀσκοὺς καινούς[7]

5, 7ᵇ: καὶ γὰρ τὸ πάσχα ἡμῶν ἐτύθη Χριστός[118] — Λ 32, 1 = Lc. 22, 1. 7. Mc. 14, 1. Mt. 26, 2: ἦγγιζεν δὲ ἡ ἑορτὴ τοῦ πάσχα — Lc. 22, 7: ἐν ᾗ ἔδει θύεσθαι τὸ πάσχα

5, 7ᵇ: τὸ πάσχα ἡμῶν ἐτύθη Χριστός[122] — Λ 32, 38 = Mt. 20, 28. Mc. 10, 45: ὁ υἱὸς τοῦ ἀνθρώπου ἦλθεν .. δοῦναι ἑαυτὸν λύτρον ἀντὶ πολλῶν

*5, 11: πόρνος ἢ πλεονέκτης ἢ εἰδωλολάτρης ἢ λοίδορος ἢ μέθυσος ἢ ἅρπαξ[35] — Λ 10, 23 = Mt. 15, 19. Mc. 7,

21. 22: *διαλογισμοὶ πονηροί, φόνοι, μοιχεῖαι, πορνεῖαι, κλοπαί, ψευδομαρτυρίαι, βλασφημίαι*

5,12.13: *τί γάρ μοι τοὺς ἔξω κρίνειν ... τοὺς δὲ ἔξω ὁ θεὸς κρίνει*[30] — *A* 8, 30 = Mc. 4, 11. 12. Lc. 8, 10. Mt. 13, 11: *τοῖς δὲ ἔξω ἐν παραβολαῖς, ἵνα βλέποντες μὴ ἴδωσιν καὶ ἀκούσαντες μὴ συνιῶσιν*

6, 2: *ἢ οὐκ οἴδατε, ὅτι οἱ ἅγιοι τὸν κόσμον κρινοῦσιν;*[119] — *A* 32, 25 = Lc. 22, 30. Mt. 19, 28: *καθήσεσθε .. κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ*

6, 7: *κρίματα ἔχετε μεθ' ἑαυτῶν· διὰ τί οὐχὶ μᾶλλον ἀδικεῖσθε; διὰ τί οὐχὶ μᾶλλον ἀποστερεῖσθε; — A* 6, 32 = Mt. 5, 40 [Lc. 6, 29]: *τῷ θέλοντί σοι κριθῆναι καὶ τὸν χιτῶνά σου λαβεῖν, ἄφες αὐτῷ καὶ τὸ ἱμάτιον*[16]

6, 9ª. 10: *ἄδικοι θεοῦ βασιλείαν οὐ κληρονομήσουσιν* — v. 10: *οὐχ ἁρπαγες βασιλείαν θεοῦ κληρονομήσουσιν*[98] — *A* 25, 25 = Mt. 25, 34: *κληρονομήσατε τὴν βασιλείαν*[5]

[6, 9ᵇ: *μὴ πλανᾶσθε*[89] — *A* 23, 25 = Mt. 22, 29. Mc. 12, 24: *πλανᾶσθε*]

6, 11: *ἀλλὰ ἐδικαιώθητε*[99] — *A* 26, 8 = Lc. 18, 14: *κατέβη οὗτος δεδικαιωμένος*

6, 11: *ἀπελούσασθε ... ἐν τῷ ὀνόματι τοῦ κυρίου Ἰησοῦ Χριστοῦ καὶ ἐν τῷ πνεύματι τοῦ θεοῦ ἡμῶν — A* 35, 48 = Mt. 28, 19: *βαπτίσαντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος*[125]

6, 13: *τὰ βρώματα τῇ κοιλίᾳ, καὶ ἡ κοιλία τοῖς βρώμασιν· ὁ δὲ θεὸς καὶ ταύτην καὶ ταῦτα καταργήσει — A* 10, 21 = Mt. 15, 17. Mc. 7, 19: *εἰς τὴν κοιλίαν χωρεῖ καὶ εἰς ὑχετὸν ἐκβάλλεται, ὃς καθαρίζει πάντα τὰ βρώματα*[35]

6, 16: *ἔσονται γάρ, φησίν, οἱ δύο εἰς σάρκα μίαν*[88] — *A* 23, 15. 16 = Mt. 19, 5. 6ª. Mc. 10, 7. 8: *ἄνθρωπος προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν*

6, 19. 20ª: *τὸ σῶμα ὑμῶν ναὸς τοῦ ἐν ὑμῖν ἁγίου πνεύματός ἐστιν, οὗ ἔχετε ἀπὸ θεοῦ .. ἠγοράσθητε γὰρ τιμῆς — A* 35, 48 = Mt. 28, 19: *εἰς ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος*[125]

6, 20ª: *ἠγοράσθητε γὰρ τιμῆς — A* 32, 38 = Mt. 20, 28. Mc. 10, 45: *δοῦναι τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν*[120]

6, 20ᵇ: δοξάσατε δὴ τὸν θεόν[112] — Λ 28, 61 = Mt. 5, 16: καὶ δοξάσωσιν τὸν πατέρα τὸν ἐν οὐρανοῖς

7, 5: ἵνα μὴ πειράζῃ ὑμᾶς ὁ σατανᾶς[3] — Λ 2, 10 = Mt. 4, 1. Mc. 1, 12. Lc. 4, 1: πειρασθῆναι ὑπὸ τοῦ σατανᾶ

7, 10. 11ᵃ: τοῖς δὲ γεγαμηκόσιν παραγγέλλω, οὐκ ἐγὼ ἀλλὰ ὁ κύριος, γυναῖκα ἀπὸ ἀνδρὸς μὴ χωρισθῆναι, ἐὰν δὲ καὶ χωρισθῇ, μενέτω ἄγαμος ἢ τῷ ἀνδρὶ καταλλαγήτω — Λ 23, 19 = Mc. 10, 12 D: ἐὰν γυνὴ ἐξέλθῃ ἀπὸ τοῦ ἀνδρὸς καὶ γαμήσῃ ἄλλον, μοιχᾶται[88]

7, 11ᵇ: καὶ ἄνδρα γυναῖκα μὴ ἀφιέναι[88] — Λ 23, 18 = Mt. 5, 32. Mc. 10, 11. Lc. 16, 18. Mt. 19, 9: πᾶς ὁ ἀπολύων τὴν γυναῖκα αὐτοῦ .... μοιχεύει

7, 19: ἡ περιτομὴ οὐδέν ἐστιν, καὶ ἡ ἀκροβυστία οὐδέν ἐστιν, ἀλλὰ τήρησις[125] ἐντολῶν θεοῦ — Λ 26, 14 = Mt. 19, 17: εἰ δὲ θέλεις εἰς τὴν ζωὴν εἰσελθεῖν, τήρει τὰς ἐντολάς[101]

7, 23: τιμῆς ἠγοράσθητε — Λ 32, 38 = Mt. 20, 28. Mc. 10, 45: δοῦναι ἑαυτὸν λύτρον ἀντὶ πολλῶν[120]

7, 26: διὰ τὴν ἐνεστῶσαν ἀνάγκην[115] — Λ 31, 15 = Lc. 21, 23. Mt. 24, 21. Mc. 13, 19: ἔσται γὰρ ἀνάγκη μεγάλη

7, 26: διὰ τὴν ἐνεστῶσαν ἀνάγκην[115] — Λ 31, 13 = Lc. 21, 23. Mt. 24, 19. Mc. 13, 17: οὐαὶ ταῖς ἐν γαστρὶ ἐχούσαις καὶ ταῖς θηλαζούσαις ἐν ἐκείναις ταῖς ἡμέραις

7, 29: οἱ ἔχοντες γυναῖκας ὡς μὴ ἔχοντες ὦσιν[77] — Λ 21, 38 = Lc. 14, 26. Mt. 10, 37: εἴ τις .. οὐ μισεῖ .. καὶ τὴν γυναῖκα — Λ 21, 17 = Lc. 14, 20: γυναῖκα ἔλαβον καὶ διὰ τοῦτο οὐ δύναμαι ἐλθεῖν

7, 30ᵃ: οἱ κλαίοντες ὡς μὴ κλαίοντες[10] — Λ 6, 10 = Lc. 6, 21. Mt. 5, 4: μακάριοι οἱ κλαίοντες, ὅτι γελάσετε

[7, 30ᵇ: οἱ χαίροντες ὡς μὴ χαίροντες[44] — Λ 21, 40 = Lc. 14, 27. Mc. 8, 34. Mt. 16, 24: ἀπαρνησάσθω ἑαυτὸν καθ' ἡμέραν χαίρων]

7, 30ᶜ: οἱ ἀγοράζοντες[107] ὡς μὴ κατέχοντες[77] — Λ 21, 15. 16 = Lc. 14, 18. 19 [Mt. 22, 5]: ἀγρὸν ἠγόρασα ... ζεύγη βοῶν ἠγόρασα

7,30.31: οἱ ἀγοράζοντες ὡς μὴ κατέχοντες ... παράγει γὰρ τὸ σχῆμα τοῦ κόσμου τούτου[107] = Λ 25, 10. 11 = Lc. 17, 28. 29: ἠγόραζον, ἐπώλουν, ἐφύτευον, ᾠκοδόμουν ... ἔβρεξεν πῦρ καὶ θεῖον ἀπ' οὐρανοῦ καὶ ἀπώλεσεν ἅπαντας

7, 31: παράγει γὰρ τὸ σχῆμα τοῦ κόσμου τούτου[117] — *Λ* 31, 32 = Mt. 24, 35. Mc. 13, 31. Lc. 21, 33: ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται

7, 32[a]: θέλω δὲ ὑμᾶς ἀμερίμνους[66] εἶναι[54] — *Λ* 17, 10 = Lc. 12, 22. Mt. 6, 25: μὴ μεριμνᾶτε

7, 32[b]: ὁ ἄγαμος μεριμνᾷ τὰ τοῦ κυρίου, πῶς ἀρέσῃ τῷ κυρίῳ[54] — *Λ* 13, 23 = Lc. 10, 39: παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ καὶ ἤκουεν τὸν λόγον αὐτοῦ

7, 33: ὁ δὲ γαμήσας μεριμνᾷ τὰ τοῦ κόσμου, πῶς ἀρέσῃ τῇ γυναικί[77] — *Λ* 21, 17 = Lc. 14, 20: γυναῖκα ἔγημα, καὶ διὰ τοῦτο οὐ δύναμαι ἐλθεῖν

7, 34[a]: ἡ ἄγαμος μεριμνᾷ τὰ τοῦ κυρίου — *Λ* 13, 23 = Lc. 10, 39: Μαρία ... ἤκουεν τὸν λόγον αὐτοῦ[54]

7, 34[b]: ἡ δὲ γαμήσασα μεριμνᾷ τὰ τοῦ κόσμου[54] — *Λ* 13, 26 = Lc. 10, 41: Μάρθα, Μάρθα, μεριμνᾷς καὶ θορυβάζῃ περὶ πολλά

7, 35: εὐπάρεδρον τῷ κυρίῳ ἀπερισπάστως[54] — *Λ* 13, 23. 24 = Lc. 10, 39. 40[a]: παρεκάθισεν παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ ... ἡ δὲ Μάρθα περιεσπᾶτο περὶ πολλὴν διακονίαν

*7, 39: γυνὴ δέδεται ἐφ' ὅσον χρόνον ζῇ ὁ ἀνὴρ αὐτῆς[88] — *Λ* 23, 19 = Mc. 10, 12: ὁ ἀπελελυμένην λαμβάνων γυναῖκα μοιχεύει

8, 3: οὗτος ἔγνωσται ὑπ' αὐτοῦ — *Λ* 20, 22 = Mt. 7, 23. Lc. 13, 27: οὐδέποτε ἔγνων ὑμᾶς[74]

8, 6[a]: ἡμῖν εἷς θεὸς ὁ πατήρ[102] — *Λ* 27, 1 = Mt. 23, 9: εἷς γάρ ἐστιν ὑμῶν ὁ πατὴρ ὁ οὐράνιος

8, 6[b]: καὶ εἷς κύριος Ἰησοῦς Χριστός[102] — *Λ* 27, 6 = Mt. 23, 8. 10: εἷς γάρ ἐστιν ὑμῶν ὁ διδάσκαλος[103]

*8, 9: μή πως .. πρόσκομμα γένηται τοῖς ἀσθενέσιν[91] — *Λ* 24, 3 = Mc. 9, 42. Mt. 18, 6. Lc. 17, 2: ὃς δ' ἂν σκανδαλίσῃ ἕνα τῶν μικρῶν τούτων

8, 11: ἀπόλλυται γὰρ ὁ ἀσθενῶν ἐν τῇ σῇ γνώσει, ὁ ἀδελφὸς δι' ὃν Χριστὸς ἀπέθανεν — *Λ* 24, 13 = Mt. 18, 14: ἀπόληται εἷς τῶν μικρῶν τούτων[93]

*8, 12: ἁμαρτάνοντες εἰς τοὺς ἀδελφοὺς .. εἰς Χριστὸν ἁμαρτάνετε — *Λ* 25, 30 = Mt. 25, 40: ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε[98] Vgl. *Λ* 25, 35 = Mt. 25, 45

8, 13: σκανδαλίζει τὸν ἀδελφόν μου ... μὴ τὸν ἀδελφόν μου σκανδαλίσω — *Λ* 24, 3 = Mt. 18, 6. Mc. 9, 42. Lc.

17, 2: ὃς δ' ἂν σκανδαλίσῃ ἕνα τῶν μικρῶν τούτων [91]

[8, 13: οὐ μὴ φάγω κρέα εἰς τὸν αἰῶνα — Λ 32, 14 = Lc. 22, 16: οὐ μὴ φάγω ἀπ' αὐτοῦ] [118]

9, 4: μὴ οὐκ ἔχομεν ἐξουσίαν φαγεῖν καὶ πεῖν; — Λ 12, 9 = Lc. 10, 7: ἐσθοντες καὶ πίνοντες τὰ παρ' αὐτῶν [42]

[9, 5: καὶ οἱ ἀδελφοὶ τοῦ κυρίου [21] — Λ 9, 2 = Mt. 12, 47. Lc. 8, 20. Mc. 3, 32: οἱ ἀδελφοί σου ἔξω ἑστήκασιν]

9, 7ª: τίς στρατεύεται ἰδίοις ὀψωνίοις; [1] — Λ 1, 16 = Lc. 3, 14: ἀρκεῖσθε τοῖς ὀψωνίοις ὑμῶν

9, 7ᵇ: τίς φυτεύει ἀμπελῶνα καὶ τὸν καρπὸν αὐτοῦ οὐκ ἐσθίει; [78] — Λ 21, 23. 25 = Mt. 21, 33. 34. Mc. 12, 1. 2. Lc. 20, 9. 10: ἄνθρωπός τις ἐφύτευσεν ἀμπελῶνα .. λαβεῖν τοὺς καρποὺς αὐτοῦ

9, 7. 10: τίς ποιμαίνει ποίμνην .... ὀφείλει ἐπ' ἐλπίδι ὁ ἀροτριῶν ἀροτριᾶν [96] — Λ 24, 44 = Lc. 17, 7: τίς δὲ ἐξ ὑμῶν ἔχων δοῦλον ἀροτριῶντα ἢ ποιμαίνοντα

9, 11: ἡμεῖς ὑμῖν τὰ πνευματικὰ ἐσπείραμεν — Λ 8, 32ª = Mc. 4, 14. Lc. 8, 11ᵇ. Mt. 13, 19ª: ὁ σπείρων τὸν λόγον σπείρει

9, 13: οὐκ οἴδατε ὅτι οἱ τὰ ἱερὰ ἐργαζόμενοι τὰ ἐκ τοῦ ἱεροῦ ἐσθίουσιν; [42] — Λ 5, 20 = Mt. 12, 4. Lc. 6, 4. Mc. 2, 26: τοὺς ἄρτους τῆς προθέσεως ἔφαγον, ὃ οὐκ ἐξὸν ἦν εἰ μὴ μόνοις τοῖς ἱερεῦσιν

9, 14: οὕτως καὶ ὁ κύριος διέταξεν τοῖς τὸ εὐαγγέλιον καταγγέλλουσιν ἐκ τοῦ εὐαγγελίου ζῆν — Λ 12, 10 = Lc. 10, 7. Mt. 10, 10: ἄξιος γὰρ ὁ ἐργάτης τῆς τροφῆς αὐτοῦ [42]

[9, 16: ἀνάγκη μοι ἐπίκειται· οὐαὶ γάρ μοί ἐστιν ἐὰν μὴ εὐαγγελίσωμαι [96] — Λ 24, 2 = Lc. 17, 1. Mt. 18, 7: τὰ κακὰ ἀνάγκη ἐλθεῖν, πλὴν οὐαὶ τῷ ἀνθρώπῳ δι' οὗ ἔρχεται]

9, 17: οἰκονομίαν πεπίστευμαι [85] — Λ 22, 36 = Lc. 16, 2: ἀπόδος τὸν λόγον τῆς οἰκονομίας — Λ 18, 11 = Lc. 12, 42. Mt. 24, 45: τίς ἄρα ἐστὶν ὁ πιστὸς οἰκονόμος; [69]

*9, 18: τίς οὖν μού ἐστιν ὁ μισθός; [96] — Λ 24, 46 = Lc. 17, 9: μὴ ἔχει χάριν τῷ δούλῳ, ὅτι ἐποίησεν τὰ διαταχθέντα αὐτῷ; οἰ δοκῶ

9, 19ª: πᾶσιν ἐμαυτὸν ἐδούλωσα [96] — Λ 32, 35 = Mc. 10, 44. Mt. 20, 27: ἔστω πάντων δοῦλος [119]

9, 19[b]: ἵνα τοὺς πλείονας κερδήσω[93] — *Λ* 24, 19 = Mt. 18, 15: ἐκέρδησας τὸν ἀδελφόν σου

[9, 25: πᾶς δὲ ὁ ἀγωνιζόμενος πάντα ἐγκρατεύεται — *Λ* 20, 2 = Lc. 13, 24: ἀγωνίζεσθε εἰσελθεῖν διὰ τῆς στενῆς θύρας][73]

10, 2: πάντες εἰς τὸν Μωϋσῆν ἐβαπτίσθημεν ἐν τῇ νεφέλῃ καὶ ἐν τῇ θαλάσσῃ — *Λ* 35, 48 = Mt. 28, 19: καὶ βαπτίσατε αὐτούς[125]

10,3.4[a]: πάντες τὸ αὐτὸ πνευματικὸν βρῶμα ἔφαγον, καὶ πάντες τὸ αὐτὸ πνευματικὸν πόμα ἔπινον[118] — *Λ* 32, 18. 20 = Mt. 26, 26. 27: λάβετε, φάγετε . . . πίετε ἐξ αὐτοῦ πάντες. Mc. 14, 23: καὶ ἔπιον ἐξ αὐτοῦ πάντες[118]

[10, 4[b]: ἡ πέτρα δὲ ἦν ὁ Χριστός[22] — *Λ* 6, 59 = Lc. 6, 48. Mt. 7, 24: ἔθηκεν θεμέλιον ἐπὶ πέτραν]

10, 9: μηδὲ ἐκπειράζωμεν τὸν κύριον[3] — *Λ* 2, 19 = Lc. 4, 12. Mt. 4, 7: οὐκ ἐκπειράσεις κύριον

10, 12: ὁ δοκῶν ἑστάναι βλεπέτω μὴ πέσῃ[122] — *Λ* 33, 25 = Mt. 26, 41. Mc. 14, 38. Lc. 22, 40. 46: γρηγορεῖτε . . . ἵνα μὴ ἐμπέσητε εἰς πειρασμόν

10, 13[a]: πειρασμὸς ὑμᾶς οὐκ εἴληφεν εἰ μὴ ἀνθρώπινος· πιστὸς δὲ ὁ θεός, ὃς οὐκ ἐάσει ὑμᾶς πειρασθῆναι ὑπὲρ ὃ δύνασθε — *Λ* 14, 16 = Lc. 11, 4. Mt. 6, 13: μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν[55]

10, 13[b]: ἀλλὰ ποιήσει σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν τοῦ δύνασθαι ὑπενεγκεῖν — *Λ* 14, 17 = Mt. 6, 13: ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ[55]

10, 15: ὡς φρονίμοις λέγω — *Λ* 12, 5 = Mt. 10, 16: γίνεσθε οὖν φρόνιμοι[41]

10, 16[a]: τὸ ποτήριον τῆς εὐλογίας ὃ εὐλογοῦμεν[118] — *Λ* 32, 19 = Lc. 22, 20. Mc. 14, 23. Mt. 26, 27: τὸ ποτήριον εὐλόγησεν

10, 16[b]: οὐχὶ κοινωνία τοῦ αἵματος τοῦ Χριστοῦ ἐστίν;[118] — *Λ* 32, 20 = Lc. 22, 20. Mc. 14, 24. Mt. 26, 28: τοῦτό μού ἐστιν τὸ αἷμα

10, 16[c]: τὸν ἄρτον ὃν κλῶμεν[118] — *Λ* 32, 17 = Lc. 22, 19. Mc. 14, 22. Mt. 26, 26: λαβὼν ἄρτον καὶ εὐλογήσας ἔκλασεν

10, 16[d]: οὐχὶ κοινωνία τοῦ σώματος τοῦ Χριστοῦ ἐστίν;[118] — *Λ* 32, 18 = Lc. 22, 19. Mc. 14, 22. Mt. 26, 26: τοῦτό ἐστιν τὸ σῶμά μου

10, 21ª: οὐ δύνασθε ποτήριον κυρίου πίνειν[119] — Λ 32, 30 = Mt. 20, 22. Mc. 10, 38: δύνασθε πιεῖν τὸ ποτήριον ὃ ἐγὼ μέλλω πίνειν;

10, 21ᵇ: οὐ δύνασθε τραπέζης κυρίου μετέχειν καὶ τραπέζης δαιμονίων[86] — Λ 22, 50 = Lc. 16, 13. Mt. 6, 24: οὐδεὶς οἰκέτης δύναται δυσὶ κυρίοις δουλεύειν ... οὐ δύνασθε θεῷ δουλεύειν καὶ μαμωνᾷ

10, 27: πᾶν τὸ παρατιθέμενον ὑμῖν ἐσθίετε[42] — Λ 12, 11 = Lc. 10, 8: ἐσθίετε τὰ παρατιθέμενα ὑμῖν[58]

*10. 31: πάντα εἰς δόξαν θεοῦ ποιεῖτε[112] — Λ 28, 61 = Mt. 5, 16: ὅπως βλέπωσιν ὑμῶν τὰ καλὰ ἔργα καὶ δοξάσωσιν τὸν πατέρα

10, 32: ἀπρόσκοποι .. γίνεσθε[91] — Λ 24, 3 = Mt. 18, 6. Mc. 9, 42. Lc. 17, 2: ὃς δ' ἂν σκανδαλίσῃ ἕνα κτλ.

[10, 33: τὸ σύμφορον .. τὸ τῶν πολλῶν, ἵνα σωθῶσιν[95] — Λ 24, 19 = Mt. 18, 15: ἐκέρδησας τὸν ἀδελφόν σου]

11, 1: μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ — Λ 12, 34 = Mt. 11, 29: μάθετε ἀπ' ἐμοῦ[50]

*11. 9. 11: οὐκ ἐκτίσθη ἀνὴρ διὰ τὴν γυναῖκα, ἀλλὰ γυνὴ διὰ τὸν ἄνδρα .. οὔτε γυνὴ χωρὶς ἀνδρὸς οὔτε ἀνὴρ χωρὶς γυναικὸς ἐν κυρίῳ[88] — Λ 23, 14 = Mc. 10, 6. Mt. 19, 4: ὁ ποιήσας [Hom. Cl. κτίσας τὸν ἄνθρωπον] ἄρσεν καὶ θῆλυ [Athenag. ἕνα ἄνδρα καὶ μίαν γυναῖκα] ἐποίησεν

11, 23ª: ἐγὼ γὰρ παρέλαβον ἀπὸ τοῦ κυρίου, ὃ καὶ παρέδωκα ὑμῖν, ὅτι ὁ κύριος Ἰησοῦς ἐν τῇ νυκτὶ ᾗ παρεδίδοτο — Λ 33, 8 = Mt. 26, 31. Mc. 14, 27: ἐν ταύτῃ τῇ νυκτί[121] — Λ 33, 29 = Mt. 26, 45. Mc. 14, 41: ἰδοὺ παραδίδοται ὁ υἱὸς τοῦ ἀνθρώπου[122] — Λ 33, 3 = Mt. 26, 23. Mc. 14, 20: οὗτός με παραδώσει

11, 23ᵇ. 24ª: ἔλαβεν ἄρτον καὶ εὐχαριστήσας ἔκλασεν καὶ εἶπεν[118] — Λ 32, 17 = Lc. 22, 19. Mc. 14, 22. Mt. 26, 26: καὶ λαβὼν ἄρτον καὶ εὐχαριστήσας ἔκλασεν καὶ ἔδωκεν τοῖς μαθηταῖς λέγων

11, 24: τοῦτό μού ἐστιν τὸ σῶμα τὸ ὑπὲρ ὑμῶν [θρυπτόμενον]· τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν[118] — Λ 32, 18 = Lc. 22, 19. Mc. 14, 22. Mt. 26, 26: λάβετε, φάγετε· τοῦτό ἐστιν τὸ σῶμά μου τὸ ὑπὲρ ὑμῶν θρυπτόμενον· τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν

11, 25ª: ὡσαύτως καὶ τὸ ποτήριον μετὰ τὸ δειπνῆσαι

λέγων[118] — *Λ* 32, 19 = Lc. 22, 20. Mc. 14, 23. Mt. 26, 27: ὡσαύτως καὶ λαβὼν τὸ ποτήριον μετὰ τὸ δειπνῆσαι εὐχαριστήσας ἔδωκεν αὐτοῖς λέγων

11, 25[b]: τοῦτο τὸ ποτήριον ἡ καινὴ διαθήκη ἐστὶν ἐν τῷ ἐμῷ αἵματι· τοῦτο ποιεῖτε ὁσάκις ἐὰν πίνητε, εἰς τὴν ἐμὴν ἀνάμνησιν[118] — *Λ* 32, 20 = Lc. 22, 20. Mc. 14, 24. Mt. 26, 27. 28: πίετε ἐξ αὐτοῦ πάντες· τοῦτό μού ἐστιν τὸ αἷμα τῆς καινῆς διαθήκης τὸ ὑπὲρ ὑμῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν· τοῦτο ποιεῖτε, ὁσάκις ἂν πίνετε, εἰς τὴν ἐμὴν ἀνάμνησιν

11, 27: 34: ἔνοχος ἔσται . . . ἵνα μὴ εἰς κρίμα συνέρχησθε — *Λ* 6, 20 = Mt. 5, 22: ἔνοχος ἔσται τῇ κρίσει[13]

11, 29: ὁ γὰρ ἐσθίων καὶ πίνων κρίμα ἑαυτῷ ἐσθίει καὶ πίνει[74] — *Λ* 20, 18. 22 = Lc. 13, 26. 27. Mt. 7, 23: κύριε, ἐφάγομεν ἐνώπιόν σου καὶ ἐπίομεν . . . τότε ὁμολογήσω αὐτοῖς· οὐδέποτε ἔγνων ὑμᾶς, ἀπόστητε ἀπ' ἐμοῦ

12, 3: οὐδεὶς ἐν πνεύματι θεοῦ λαλῶν ὁύναται εἰπεῖν· κύριος Ἰησοῦς, εἰ μὴ ἐν πνεύματι ἁγίῳ[125] — *Λ* 35, 48 = Mt. 28, 19: εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος

12, 4—6: τὸ αὐτὸ πνεῦμα .. ὁ αὐτὸς κύριος .. ὁ δὲ αὐτὸς θεός — *Λ* 35, 48 = Mt. 28, 19: εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος[125]

[*12, 9. 28: ἄλλῳ δὲ χαρίσματα ἰαμάτων . . . ἔπειτα χαρίσματα ἰαμάτων — *Λ* 12, 12 = Mt. 10, 8. Lc. 10, 9: ἀσθενεῖς θεραπεύετε][74]

12, 11: διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται[114] — *Λ* 29, 14 = Mt. 25, 15: ἔδωκεν . . . ἑκάστῳ κατὰ τὴν ἰδίαν δύναμιν

12, 13: καὶ γὰρ ἐν ἑνὶ πνεύματι ἡμεῖς πάντες εἰς ἓν σῶμα ἐβαπτίσθημεν — *Λ* 35, 48 = Mt. 28, 19: βαπτίσατε αὐτοὺς εἰς ὄνομα . . . τοῦ ἁγίου πνεύματος[125]

12, 26: συγχαίρει πάντα τὰ μέλη — *Λ* 24, 16 = Lc. 15, 9: συγχάρητέ μοι[94]

12, 28. 29: ἔθετο ὁ θεὸς ἐν τῇ ἐκκλησίᾳ πρῶτον ἀποστόλους, δεύτερον προφήτας, τρίτον διδασκάλους . . . μὴ πάντες ἀπόστολοι; μὴ πάντες προφῆται; μὴ πάντες διδάσκαλοι; — *Λ* 16, 22 = Lc. 11, 49 [Mt. 23, 34]: ἀποστελῶ πρὸς ὑμᾶς ἀποστόλους καὶ προφήτας καὶ διδασκάλους[61]

13, 2ª: ἐὰν ἔχω προφητείαν[74] — Λ 20, 20 = Mt. 7, 22: οὐ τῷ σῷ ὀνόματι ἐπροφητεύσαμεν;

13, 2ᵇ: καὶ εἰδῶ τὰ μυστήρια πάντα[28] — Λ 8, 29 = Lc. 8, 10. Mc. 4, 11. Mt. 13, 11: ὑμῖν δέδοται γνῶναι τὰ μυστήρια

13, 2ᶜ: καὶ πᾶσαν τὴν γνῶσιν[59] — Λ 16, 16 = Lc. 11, 52 [Mt. 23, 13]: ἤρατε τὴν κλεῖδα τῆς γνώσεως

13, 2ᵈ: καὶ ἐὰν ἔχω πᾶσαν τὴν πίστιν, ὥστε ὄρη μεθιστάνειν[28] — Λ 24, 25 = Lc. 17, 6 D. Mt. 17, 20. Mc. 11, 23. Mt. 21, 21: ἐὰν ἔχητε πίστιν .. ἐρεῖτε τῷ ὄρει τούτῳ· μετάβα ἔνθεν ἐκεῖ, καὶ μεταβήσεται[95]

13, 3ª: καὶ ἐὰν ψωμίσω πάντα τὰ ὑπάρχοντά μου[101] — Λ 26, 17 = Lc. 18, 22. Mt. 19, 21. Mc. 10, 21: πώλησόν σου τὰ ὑπάρχοντα καὶ διάδος τοῖς πτωχοῖς

13, 3ᵇ: καὶ ἐὰν παραδῶ τὸ σῶμά μου, ἵνα καυθήσομαι[92] — Λ 24, 7 = Mt. 5, 30. Mc. 9, 43. Mt. 18, 8: μὴ ὅλον τὸ σῶμα βληθῇ εἰς τὴν γέενναν τοῦ πυρός

13, 4: ἡ ἀγάπη . . χρηστεύεται[17] — Λ 6, 42 = Lc. 6, 35: γίνεσθε χρηστοί[20]

13, 6: [ἡ ἀγάπη] συγχαίρει — Λ 24, 16 = Lc. 15, 9: συγχάρητέ μοι[94]

13, 8. 9: εἴτε προφητεῖαι, καταργηθήσονται ... ἐκ μέρους προφητεύομεν[74] — Λ 20, 20 = Mt. 7, 22: οὐ τῷ σῷ ὀνόματι ἐπροφητεύσαμεν — Λ 20, 22 = Mt. 7, 23. Lc. 13, 27: οὐκ ἔγνων ὑμᾶς· ἀπόστητε ἀπ' ἐμοῦ

13, 12ª: βλέπομεν γὰρ ἄρτι δι' ἐσόπτρου ἐν αἰνίγματι[30] — Λ 8, 30 = Lc. 8, 10. Mt. 13, 11. 13. Mc. 4, 11. 12: τοῖς δὲ ἔξω ἐν παραβολαῖς, ἵνα βλέποντες μὴ ἴδωσιν

[13, 12ᵇ: τότε δὲ πρόσωπον πρὸς πρόσωπον — Λ 11, 23 = Lc. 9, 29. Mt. 17, 2: ἔλαμψεν τὸ πρόσωπον ὡς ὁ ἥλιος][39]

13, 12ᶜ: ἐπιγνώσομαι καθὼς καὶ ἐπεγνώσθην — Λ 20, 22 = Mt. 7, 23. Lc. 13, 27: οὐκ ἔγνων ὑμᾶς[74]

14, 1: μᾶλλον δὲ ἵνα προφητεύητε — Λ 20, 20 = Mt. 7, 22: ἐν τῷ σῷ ὀνόματι ἐπροφητεύσαμεν[74]

14, 20ª: μὴ παιδία γίνεσθε ταῖς φρεσίν, ἀλλὰ τῇ κακίᾳ νηπιάζετε[46] — Λ 26, 11 = Mt. 18, 3. Mc. 10, 15. Lc. 18, 17: ἐὰν μὴ αὐθις γένησθε ὡς τὰ παιδία — Λ 12, 27 = Lc. 10, 21. Mt. 11, 25: ἀπεκάλυψας αὐτὰ νηπίοις[100]

14, 20ᵇ: ταῖς δὲ φρεσὶν τέλειοι γίνεσθε[19] — Λ 6, 42 = Mt. 5, 48. ἔσεσθε οὖν ὑμεῖς τέλειοι[101]

14, 25: τὰ κρυπτὰ τῆς καρδίας αὐτοῦ φανερὰ γίνεται[46] — Λ 16, 28 = Lc. 12, 2. Mc. 4, 22. Lc. 8, 17. Mt. 10, 26: οὐ γάρ ἐστιν κρυπτόν, ὃ οὐ φανερὸν γενήσεται

14, 32: πνεύματα προφητῶν προφήταις ὑποτάσσεται[61] — Λ 12, 24 = Lc. 10, 20: τὰ πνεύματα ὑμῖν ὑποτάσσεται

15, 2: δι' οὗ καὶ σώζεσθε, τίνι λόγῳ εὐηγγελισάμην ὑμῖν, εἰ κατέχετε, ἐκτὸς εἰ μὴ εἰκῇ ἐπιστεύσατε[32] — Λ 8, 32, 35 = Lc. 8, 11. 12. 15. Mc. 4, 14. 15. 20. Mt. 13, 19. 23: αἴρει τὸν λόγον ... ἵνα μὴ πιστεύσαντες σωθῶσιν ... οἱ δὲ .. τὸν λόγον κατέχουσιν

15, 3ᵃ: παρέδωκα γὰρ ὑμῖν ἐν πρώτοις, ὃ καὶ παρέλαβον, ὅτι Χριστὸς ἀπέθανεν — Λ 34, 44 = Lc. 23, 46. Mt. 27, 50. Mc. 15, 37: ἀφῆκεν τὸ πνεῦμα[123]

15, 3ᵇ: ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν κατὰ τὰς γραφάς[118] — Λ 32, 20 = Mt. 26, 28. Mc. 14, 24. Lc. 22, 20: τοῦτό μού ἐστιν τὸ αἷμα .. τὸ ὑπὲρ ὑμῶν ἐκχυννόμενον εἰς ἄφεσιν ἁμαρτιῶν

15, 4ᵃ: καὶ ὅτι ἐτάφη[123] — Λ 34, 50 = Lc. 23, 53. Mt. 27, 59. Mc. 15, 46: καὶ ἔθηκεν αὐτὸ ἐν μνημείῳ

15, 4ᵇ: καὶ ὅτι ἐγήγερται[124] — Λ 35, 6 = Lc. 24, 6. Mc. 16, 6. Mt. 28, 6: ἀλλὰ ἠγέρθη — Λ 35, 33 = Lc. 24, 34: ὄντως ἠγέρθη ὁ κύριος

15, 4ᶜ: τῇ ἡμέρᾳ τῇ τρίτῃ κατὰ τὰς γραφάς[124] — Λ 35, 21 = Lc. 24, 21: τρίτην ἡμέραν σήμερον ἄγει, ἀφ' οὗ ταῦτα γέγονεν

15, 5ᵃ: καὶ ὅτι ὤφθη Κηφᾷ[124] — Λ 35, 33 = Lc. 24, 34: καὶ ὤφθη Σίμωνι

15, 5ᵇ: εἶτα τοῖς δώδεκα[124] — Λ 35, 33. 34 = Lc. 24, 34. 36: ἠθροισμένους τοὺς ἕνδεκα .. ἐστάθη ἐν μέσῳ αὐτῶν

15, 6: ἔπειτα ὤφθη ἐπάνω πεντακοσίοις ἀδελφοῖς ἐφάπαξ — Λ 35, 42—44 = Lc. 24, 50. 51.[124]

15, 7: εἶτα τοῖς ἀποστόλοις πᾶσιν — Λ 35, 45. 46 = Mt. 28, 16. Act. 1, 3. 4: καὶ οἱ ἕνδεκα μαθηταὶ ἐπορεύθησαν εἰς τὸ ὄρος[126] Vgl. Act. 1, 13.

[15, 8: ἔσχατον δὲ πάντων .. κἀμοί[119] — Λ 32, 35 = Mc. 9, 35: ὁ πρῶτος πάντων ἔσχατος]

15, 9ᵃ: ἐγὼ γάρ εἰμι ὁ ἐλάχιστος[119] τῶν ἀποστόλων — Λ 25, 35 = Mt. 25, 45: ἐνὶ τούτων τῶν ἐλαχίστων[98]

15, 9ᵇ: ὃς οὐκ εἰμὶ ἱκανὸς[1] καλεῖσθαι ἀπόστολος — Λ 2, 25 = Mc. 1, 7. Mt. 3, 11. Lc. 3, 16: οὐκ εἰμὶ ἱκανὸς λῦσαι

— *Λ* 7, 5 = Mt. 8, 8. Lc. 7, 6: *οὐκ εἰμὶ ἱκανός, ἵνα ὑπὸ τὴν στέγην μου εἰσέλθῃς*

15, 12: *πῶς λέγουσιν ἐν ὑμῖν τινες ὅτι ἀνάστασις νεκρῶν οὐκ ἔστιν*[89] — *Λ* 23, 20 = Mt. 22, 23. Lc. 20, 27. Mc. 12, 18. Epiph. Haer. XIV. p. 31 D: *ἐν ἐκείνῃ τῇ ἡμέρᾳ τινὲς προσῆλθον αὐτῷ λέγοντες· εἰ δύναται εἶναι νεκρῶν ἀνάστασις*

15, 15. 16: *εἴπερ ἄρα νεκροὶ οὐκ ἐγείρονται . . εἰ γὰρ νεκροὶ οὐκ ἐγείρονται*[89] — *Λ* 23, 28 = Lc. 20, 37. Mc. 12, 26 [Mt. 22, 31]: *ὅτι δὲ ἐγείρονται οἱ νεκροί*

15, 20: *Χριστὸς ἐγήγερται ἐκ νεκρῶν*[124] — *Λ* 35, 6 = Lc. 24, 6. Mc. 16, 6. Mt. 28, 6: *ἠγέρθη ἀπὸ τῶν νεκρῶν*

15, 21: *δι' ἀνθρώπου*[38] *ἀνάστασις νεκρῶν* — *Λ* 11, 18 = Mc. 8, 31. Lc. 9, 22. Mt. 16, 21: *δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου . . . ἀναστῆναι*

15, 24[a]: *εἶτα τὸ τέλος, ὅταν παραδιδοῖ τὴν βασιλείαν τῷ θεῷ* — *Λ* 35, 47 = Mt. 28, 18: *ἐδόθη μοι πᾶσα ἐξουσία* — *Λ* 35, 49 = Mt. 28, 20: *ἕως τῆς συντελείας τοῦ αἰῶνος*[125]

15, 24[b]: *καταργήσῃ πᾶσαν ἀρχὴν καὶ πᾶσαν ἐξουσίαν καὶ δύναμιν*[44] — *Λ* 12, 23 = Lc. 10, 19: *δέδωκα ὑμῖν τὴν ἐξουσίαν τοῦ πατεῖν . . ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ*

15, 26: *καταργεῖται ὁ θάνατος*[89] — *Λ* 23, 27 = Lc. 20, 36: *οὐδὲ γὰρ ἀποθανεῖν ἔτι δύνανται*

15, 29: *εἰ ὅλως νεκροὶ οὐκ ἐγείρονται*[89] — *Λ* 23, 28 = Lc. 20, 37. Mc. 12, 26 [Mt. 22, 31]: *ὅτι δὲ ἐγείρονται νεκροί*

15, 31: *καθ' ἡμέραν ἀποθνήσκω,*[81] *νὴ τὴν . . καύχησιν . . ἣν ἔχω ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν* — *Λ* 21, 40 = Mc. 8, 34. Lc. 9, 23. Mt. 16, 24: *ἀπαρνησάσθω ἑαυτὸν καθ' ἡμέραν χαίρων καὶ ἀκολουθείτω μοι*

15, 32: *εἰ νεκροὶ οὐκ ἐγείρονται*[89] — *Λ* 23, 28 = Lc. 20, 37. Mc. 12, 26 [Mt. 22, 31]: *ὅτι δὲ ἐγείρονται οἱ νεκροί*

15, 33. 34: *μὴ πλανᾶσθε . . ἀγνωσίαν γὰρ θεοῦ τινες ἔχουσιν*[89] — *Λ* 23, 25 = Mt. 22, 29. Mc. 12, 24: *πλανᾶσθε μὴ εἰδότες τὰς γραφὰς μηδὲ τὴν δύναμιν τοῦ θεοῦ*

15, 35: *ἀλλὰ ἐρεῖ τις· πῶς ἐγείρονται οἱ νεκροί* — *Λ* 23, 28 = Lc. 20, 37 [Mt. 22, 31]. Mc 12, 26: *ὅτι δὲ ἐγείρονται οἱ νεκροί*[89]

15, 36[a]: *ἄφρων,*[67] *σὺ ὃ σπείρεις* — *Λ* 17, 9 = Lc. 12, 20: *ἄφρων, ταύτῃ τῇ νυκτί*

15, 36b. 37: *σὺ ὃ σπείρεις, οὐ ζωοποιεῖται, ἐὰν μὴ ἀποθάνῃ· καὶ ὃ σπείρεις ... γυμνὸν κόκκον, εἰ τύχοι σίτου, ἤ τινος τῶν λοιπῶν*[32] — *Λ* 8, 18. 19 = Mc. 4, 26. Clem. Rom. I, 24, 5: *ὡς κόκκος σίτου βληθῇ εἰς τὴν γῆν, καὶ καθεύδῃ ὁ σπόρος καὶ ἐγείρηται*[89]

15, 42—44: *σπείρεται ἐν φθορᾷ, ἐγείρεται*[89] *ἐν ἀφθαρσίᾳ· σπείρεται ἐν ἀτιμίᾳ, ἐγείρεται ἐν δόξῃ· σπείρεται ἐν ἀσθενείᾳ, ἐγείρεται ἐν δυνάμει· σπείρεται σῶμα ψυχικόν, ἐγείρεται σῶμα πνευματικόν* — *Λ* 8, 18. 19 = Mc. 4, 26. 27: *ὡς σπόρος σίτου βληθῇ εἰς τὴν γῆν καὶ καθεύδῃ ὁ σπόρος καὶ ἐγείρηται*[32]

15, 47: *ὁ δεύτερος ἄνθρωπος ἐξ οὐρανοῦ*[38] — *Λ* 31, 28 = Mt. 24, 30. Mc. 13, 26. Lc. 21, 27: *τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ*[117]

15, 50: *σὰρξ καὶ αἷμα βασιλείαν θεοῦ κληρονομῆσαι οὐ δύναται*[98] — *Λ* 25, 25 = Mt. 25, 34: *κληρονομήσατε τὴν βασιλείαν*[5] — *Λ* 11, 16 = Mt. 16, 17: *σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέν σοι*[46]

15, 52: *ἐν τῇ ἐσχάτῃ σάλπιγγι· σαλπίσει γάρ*[117] — *Λ* 31, 29 = Mt. 24, 31 [Mc. 13, 27]: *ἀποστελεῖ τοὺς ἀγγέλους αὐτοῦ μετὰ σάλπιγγος φωνῆς μεγάλης*

[16, 2: *κατὰ μίαν σαββάτου*[124] — *Λ* 35, 1 = Mt. 28, 1. Mc. 16, 1. 2. Lc. 24, 1 D: *τῇ δὲ μιᾷ τῶν σαββάτων*]

16, 13: *γρηγορεῖτε*[69] — *Λ* 18, 10 = Mc. 13, 37: *πρὸς πάντας λέγω· γρηγορεῖτε*

16, 22: *εἴ τις οὐ φιλεῖ τὸν κύριον, ἤτω ἀνάθεμα*[79] — *Λ* 21, 38 = Mt. 10, 37. Lc. 14, 26: *ὁ φιλῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμὲ οὐκ ἔστιν μου ἄξιος.*

Der zweite Brief an die Corinther.

1, 3: *ὁ πατὴρ τῶν οἰκτιρμῶν*[18] — *Λ* 6, 42 = Lc. 6, 36 [Mt. 5, 48]: *ὡς ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος χρηστός ἐστιν καὶ οἰκτίρμων*

1, 5: *περισσεύει τὰ παθήματα τοῦ Χριστοῦ εἰς ἡμᾶς.* 1, 7: *εἰδότες ὅτι .. κοινωνοί ἐστε τῶν παθημάτων* — *Λ* 11, 18 = Mt. 16, 21. Lc. 9, 22. Mc. 8, 31: *δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου*[38] *πολλὰ παθεῖν* — *Λ* 28, 8 = Mt. 5, 10: *μακάριοι οἱ πάσχοντες διὰ τὸ ὄνομά μου*[11]

1, 6: *εἴτε δὲ θλιβόμεθα, ὑπὲρ τῆς ὑμῶν παρακλήσεως .. εἴτε παρακαλούμεθα, ὑπὲρ τῆς ὑμῶν παρακλή-*

σεως[10] — Λ 6, 10 = Mt. 5, 4. Lc. 6, 21: μακάριοι οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται

1, 7: ὡς κοινωνοί ἐστε τῶν παθημάτων, οὕτως καὶ τῆς παρακλήσεως — Λ 28, 8 = Mt. 5, 10: μακάριοι οἱ πάσχοντες[11]

1, 9: μὴ πεποιθότες ὦμεν ἐφ' ἑαυτοῖς[99] — Λ 26, 1 = Lc. 18, 9: εἶπεν δὲ πρός τινας τοὺς πεποιθότας ἐφ' ἑαυτοῖς

1, 10: ὃς ἐκ . . θανάτου ἐρρύσατο ἡμᾶς καὶ ῥύσεται, εἰς ὃν ἠλπίκαμεν ὅτι καὶ ἔτι ῥύσεται — Λ 14, 17 = Mt. 6, 13 [Lc. 11, 4 D]: ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ[55]

1, 17—20: ἵνα ᾖ παρ' ἐμοὶ τὸ ναὶ ναὶ καὶ τὸ οὒ οὔ . . ὅτι ὁ λόγος ἡμῶν ὁ πρὸς ὑμᾶς οὐκ ἔστιν ναὶ καὶ οὔ . . ἀλλὰ ναὶ ἐν αὐτῷ γέγονεν . . ὅσαι γὰρ ἐπαγγελίαι θεοῦ, ἐν αὐτῷ τὸ ναί· διὸ καὶ ἐν αὐτῷ τὸ ἀμήν — Λ 6, 26 = Mt. 5, 37: ἔστω δὲ ὑμῶν ὁ λόγος τὸ ναὶ ναὶ καὶ τὸ οὒ οὔ[14]

1, 21. 22: ὁ δὲ βεβαιῶν ἡμᾶς σὺν ὑμῖν εἰς Χριστὸν καὶ χρίσας ἡμᾶς θεός, ὁ καὶ σφραγισάμενος ἡμᾶς καὶ δοὺς τὸν ἀρραβῶνα τοῦ πνεύματος — Λ 35, 48 = Mt. 28, 19: βαπτίσαντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος[125]

1, 24: οὐχ ὅτι κυριεύομεν ὑμῶν[119] — Λ 32, 34 = Lc. 22, 25. Mt. 20, 25. Mc. 10, 42: οἱ βασιλεῖς τῶν ἐθνῶν κυριεύουσιν αὐτῶν . . ὑμεῖς δὲ οὐχ οὕτως

2, 6: ἱκανὸν τῷ τοιούτῳ ἡ ἐπιτιμία αὕτη ἡ ὑπὸ τῶν πλειόνων[95] — Λ 24, 18. 19 = Mt. 18, 15. 16. Lc. 17, 3: ἐπιτίμησον αὐτῷ . . . παράλαβε μετὰ σεαυτοῦ ἔτι ἕνα ἢ δύο

2, 10: ᾧ δέ τι χαρίζεσθε, κἀγώ· καὶ γὰρ ἐγὼ ὃ κεχάρισμαι, εἴ τι κεχάρισμαι, δι' ὑμᾶς ἐν προσώπῳ Χριστοῦ — Λ 7, 51. 52 = Lc. 7, 42. 43: ἀμφοτέροις ἐχαρίσατο . . ᾧ τὸ πλέον ἐχαρίσατο[27]

[2, 11: ἵνα μὴ πλεονεκτηθῶμεν ὑπὸ τοῦ σατανᾶ· οὐ γὰρ αὐτοῦ τὰ νοήματα ἀγνοοῦμεν — Λ 33, 6 = Lc. 22, 31: ἰδοὺ ὁ σατανᾶς ἐξητήσατο ὑμᾶς τοῦ συνιάσαι][121]

2, 15ᵃ: Χριστοῦ εὐωδία ἐσμὲν τῷ θεῷ ἐν τοῖς σωζομένοις — Λ 20, 1 = Lc. 13, 23: εἰ ὀλίγοι εἰσὶν οἱ σωζόμενοι[72]

2, 15ᵇ. 16ᵃ: ἐν τοῖς ἀπολλυμένοις[72] . . . ὀσμὴ ἐκ θανάτου εἰς θάνατον — Λ 20, 3 = Mt. 7, 13: ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ἀπώλειαν

2, 16ᵇ: *οἷς δὲ ὀσμὴ ἐκ ζωῆς εἰς ζωήν*[72] — *Λ* 20, 4 = Mt. 7, 14: *ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν*

3, 3: *ὅτι ἐστὲ ἐπιστολὴ Χριστοῦ . . ἐγγεγραμμένη . . πνεύματι θεοῦ ζῶντος* — *Λ* 35, 48 = Mt. 28, 19: *εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος*[125]

3, 5: *οὐχ ὅτι ἀφ' ἑαυτῶν ἱκανοί ἐσμεν* — *Λ* 2, 25 = Lc. 3, 16. Mt. 3, 11. Mc. 1, 7: *οὐκ εἰμὶ ἱκανός*[1]

3, 6: *ἱκάνωσεν ἡμᾶς διακόνους*[119] *καινῆς διαθήκης*[39] — *Λ* 32, 22. 23 = Lc. 22, 28 D. Lc. 22, 29: *ὑμεῖς ηὐξήθητε ἐν τῇ διακονίᾳ μου . . ἰδοὺ διατίθεμαι ὑμῖν* [*καινὴν*] *διαθήκην*[119]

3, 7: *εἰς τὸ πρόσωπον Μωϋσέως διὰ τὴν δόξαν τοῦ προσώπου αὐτοῦ* — *Λ* 11, 24 = Lc. 9, 30. 31 [Mt. 17, 3. Mc. 9, 4]: *Μωϋσῆς καὶ Ἠλίας . . ὀφθέντες ἐν δόξῃ*[39]

3, 8. 9: *ἡ διακονία τοῦ πνεύματος . . . ἡ διακονία τῆς δικαιοσύνης* — *Λ* 32, 22 = Lc. 22, 28 D: *ὑμεῖς ηὐξήθητε ἐν τῇ διακονίᾳ μου*[119]

3, 14: *ἄχρι γὰρ τῆς σήμερον ἡμέρας τὸ αὐτὸ κάλυμμα . . μένει*[6] — *Λ* 30, 11 = Lc. 19, 42: *εἰ ἔγνως καὶ σὺ σήμερον τὰ πρὸς εἰρήνην σου· νῦν δὲ ἐκρύβη ἀπό σου*

3, 15: *ἕως σήμερον . . . κάλυμμα ἐπὶ τὴν καρδίαν αὐτῶν κεῖται* — *Λ* 35, 31 = Lc. 24, 32 D: *οὐχὶ ἡ καρδία ἦν ἡμῶν κεκαλυμμένη;*[124]

3, 18: *ἡμεῖς δὲ πάντες ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν κυρίου κατοπτριζόμενοι . . μεταμορφούμεθα ἀπὸ δόξης εἰς δόξαν* — *Λ* 11, 22 = Mt. 17, 2. Mc. 9, 2. Lc. 9, 29. 32: *ἡ ἰδέα τοῦ προσώπου αὐτοῦ μετεμορφώθη . . διαγρηγορήσαντες δὲ εἶδον τὴν δόξαν αὐτοῦ*[39]

[4, 1ᵃ: *ἔχοντες τὴν διακονίαν ταύτην*[119] — *Λ* 32, 22 = Lc. 22, 28 D: *ὑμεῖς ηὐξήθητε ἐν τῇ διακονίᾳ μου*]

4, 1ᵇ: *οὐκ ἐγκακοῦμεν* — *Λ* 14, 18 = Lc. 18, 1: *μὴ ἐκκακήσητε*[35]

4, 2ᵃ.3: *τὰ κρυπτὰ τῆς αἰσχύνης . . . τῇ φανερώσει . . . εἰ δὲ καὶ ἔστιν κεκαλυμμένον τὸ εὐαγγέλιον ἡμῶν, ἐν τοῖς ἀπολλυμένοις ἐστὶν κεκαλυμμένον* — *Λ* 16, 28 = Lc. 12, 2. Mc. 4, 22. Lc. 8, 17. Mt. 10, 26: *οὐ γάρ ἐστιν κρυπτόν, ὃ οὐ φανερωθῇ, οὐδὲ κεκαλυμμένον, ὃ οὐ γνωσθήσεται*[46]

2ᵇ: *μὴ περιπατοῦντες ἐν πανουργίᾳ μηδὲ δολοῦντες τὸν*

λόγον τοῦ θεοῦ — Λ 30, 19 = Lc. 20, 23. Mt. 22, 18. Mc. 12, 15: κατανοήσας δὲ αὐτῶν τὴν πανουργίαν[24]

[*4, 4: ὁ θεὸς τοῦ αἰῶνος τούτου ἐτύφλωσεν[35] τὰ νοήματα τῶν ἀπίστων — Λ 10, 16 = Mt. 15, 14: ὁδηγοί εἰσιν τυφλοὶ τυφλῶν]

4, 4: εἰς τὸ μὴ αὐγάσαι τὸν φωτισμὸν τοῦ εὐαγγελίου τῆς δόξης τοῦ Χριστοῦ[39] — Λ 11, 23 = Mt. 17, 2. Lc. 9, 29. 32. Mc. 9, 3: ἔλαμψεν τὸ πρόσωπον αὐτοῦ ὡς φῶς .. καὶ εἶδον τὴν δόξαν αὐτοῦ

4, 5: κηρύσσομεν .. ἑαυτοὺς .. δούλους ὑμῶν διὰ Ἰησοῦν[119] — Λ 32, 35 = Mt. 20, 26. 27. Mc. 10, 43. 44. Lc. 22, 26. Mc. 9, 35. Lc. 9, 48. Mt. 23, 11: ὁ ἡγούμενος ἔστω πάντων δοῦλος

4, 6: ὁ θεὸς ὁ εἰπών· ἐκ σκότους φῶς λάμψει, ὃς ἔλαμψεν πρὸς φωτισμὸν τῆς γνώσεως τῆς δόξης τοῦ θεοῦ ἐν προσώπῳ Χριστοῦ[39] — Λ 11, 23 = Lc. 9, 29. Mc. 9, 3. Mt. 17, 2: ἔλαμψεν τὸ πρόσωπον αὐτοῦ ὡς τὸ φῶς. Lc. 9, 32: εἶδον τὴν δόξαν αὐτοῦ

4, 10: πάντοτε τὴν νέκρωσιν τοῦ Ἰησοῦ ἐν τῷ σώματι περιφέροντες — Λ 21, 39 = Lc. 14, 27. Mt. 10, 38. Mc. 8, 34. Mt. 16, 24. Lc. 9, 23: ὅστις οὐ βαστάζει τὸν σταυρὸν αὐτοῦ[80]

4, 11: εἰς θάνατον παραδιδόμεθα διὰ Ἰησοῦν[41] — Λ 12, 4 = Lc. 10, 3. Mt. 10, 16: ἰδοὺ ἀποστέλλω ὡς πρόβατα ὑμᾶς ἐν μέσῳ λύκων

4, 16: διὸ οὐκ ἐγκακοῦμεν — Λ 14, 18 = Lc. 18, 1: μὴ ἐκκακήσητε[55]

4, 16: εἰ καὶ ὁ ἔξω ἡμῶν ἄνθρωπος διαφθείρεται, ἀλλ' ὁ ἔσω ἡμῶν [ἄνθρωπος] ἀνακαινοῦται ἡμέρᾳ καὶ ἡμέρᾳ — Λ 21, 40 = Mc. 8, 34. Mt. 16, 24. Lc. 9, 23: εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτὸν καθ' ἡμέραν καίρων[81]

4, 17: τὸ γὰρ παραυτίκα ἐλαφρὸν τῆς θλίψεως ... βάρος — Λ 12, 36 = Mt. 11, 30: τὸ φορτίον μου ἐλαφρόν[51]

5, 1. 2: οἰκοδομὴν ἐκ θεοῦ ἔχομεν, οἰκίαν ἀχειροποίητον αἰώνιον ἐν τοῖς οὐρανοῖς, τὸ οἰκητήριον[39] ὑμῶν τὸ ἐξ οὐρανοῦ — Λ 22, 44 = Lc. 16, 9: δέξωνται ὑμᾶς εἰς τὰς αἰωνίους σκηνάς[85]

5, 10ª: τοὺς γὰρ πάντας ἡμᾶς φανερωθῆναι δεῖ ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ[38] — Λ 25, 21 = Mt. 25, 31. 32: καθίσει ἐπὶ τῷ βήματι δόξης αὐτοῦ καὶ

συναχθήσονται ἔμπροσθεν αὐτοῦ πάντα τὰ ἔθνη[98]

[*5, 10b: ἵνα κομίσηται ἕκαστος .. πρὸς ἃ ἔπραξεν[107] — Λ 29, 29 = Mt. 25, 27 [Lc. 19, 23]: ἐκομισάμην ἂν τὸ ἐμὸν σὺν τόκῳ] [114]

5, 10b: ἵνα κομίσηται ἕκαστος .. πρὸς ἃ ἔπραξεν[107] — Λ 27, 40 = Mt. 16, 27: ἀποδώσει ἑκάστῳ κατὰ τὴν πρᾶξιν αὐτοῦ

5, 14: εἷς ὑπὲρ πάντων ἀπέθανεν[120] — Λ 32, 38 = Mt. 20, 28. Mc. 10, 45: ὁ υἱὸς τοῦ ἀνθρώπου ἦλθεν .. δοῦναι τὴν ψυχὴν αὐτοῦ .. ἀντὶ πολλῶν

5, 15: ἵνα οἱ ζῶντες μηκέτι ἑαυτοῖς ζῶσιν, ἀλλὰ τῷ ὑπὲρ αὐτῶν ἀποθανόντι καὶ ἐγερθέντι — Λ 23, 29 = Lc. 20, 38: πάντες γὰρ αὐτῷ ζῶσιν[89]

